Κατὰ δὲ τὸ ἐκτεθὲν σχῆμα πρὸς ἀνατολὰς τῆς στάσεως τῆς μεγάλης ἑταιρείας καὶ τοῦ τάγματος τῶν σχολῶν | [fol. 237r V] δέον ἐστὶ καὶ εἰς τὰ ἕτερα τρία μέρη τοῦ βασιλικοῦ ἀπλήκτου ἔνδον μὲν τῶν δημοσίων ὁδῶν τὰς ἑταιρείας ἀπληκεύειν καὶ τοὺς ἀθανάτους, ἔξωθεν δὲ τῶν ἑταιρειῶν τὰ λοιπὰ τάγματα μετὰ καὶ τοῦ δρουγγαρίου τῆς βίγλας, καὶ ἔτι τούτων ἐξωτέρω τὰ θέματα εἴς τε σταυροειδὲς σχῆμα καὶ τὰς γωνίας ἄχρι τῆς ὁδοῦ τῆς διειργούσης τὰ τῶν ἱππέων καὶ πεζῶν ἀπλῆκτα, καθὼς ἡ διαγραφεῖσα ἱστορία ἀκριβέστερον παριστᾷ καὶ σαφέστερον. ἐν δὲ τῇ σκηνῇ τοῦ δρουγγαρίου τῆς βίγλας ‖ αἱ παραμοναὶ τῶν στρατηγῶν καὶ [fol. 217r P1] τῶν ἄλλων ἀρχόντων ἔν τε ἡμέρᾳ καὶ νυκτὶ προσεδρευέτωσαν. χρὴ δὲ μετὰ τὸ κενὸν χωρίον τὸ ἔνδον τοῦ χάρακος καθεξῆς εἰς τὰς ἑτέρας εἰκοσιδύο ὀργυιὰς τὰς ἀποκληρωθείσας πρὸς τὸ τοὺς πεζοὺς ἀπληκεῦσαι εἰς μὲν τὴν ἀνα-

---

3 πρὸς τὸν β. P^1V; corr. Graux recepta lectione in mg. cod. *m* a manu secunda prolata ‖ 5 ὀργυίας P^1V ‖ 7 παραβαντίται P^1, idem *V* post correctionem; παραβαντῖται *V* ante correctionem ‖ 8 ἱστάτωσαν Graux, ἱστάσθωσαν P^1V | οἱ] ὁ *V* ‖ 11 ἱστάμενα *V* ‖ 12 δύνασθαι τινὰ P^1V, et fortasse omnes *R* ‖ 14 Post verbum σχῆμα P^1 addit ἤτοι item post τάγματος (vs. 15) ‖ 16 δέον ἔστι *V* ‖ 19 Post βίγλας P^1 addit ἤτοι τῶν ἀρχόντων ‖ 22 ἀπλήκτα *V* ‖ 23 παριστᾶ P^1V ‖ 24 Post στρατηγῶν add. P^1 ἤτοι ‖ 27 καθέξης *V* | ὀργυίας P^1V

τολικὴν δημοσίαν καὶ μέσην οὖσαν ὁδὸν τοὺς μέσους τοῦ μετώπου ταξιάρχους ἕνα μὲν ἐκ δεξιῶν αὐτῆς, ἕνα δὲ ἐξ εὐωνύμων τὰς σκηνὰς αὐτῶν πῆξαι· εἶθ' οὕτως εἰς τὰ ἄκρα τοῦ κενοῦ χωρίου καὶ τῆς ὁδοῦ τῆς διαιρούσης τὰ αὐτῶν τε καὶ τῶν ἱππέων ἀπλῆκτα, οἱ ἑκατόνταρχοι καὶ πεντηκόνταρχοι τὰς σκηνὰς αὐτῶν πηγνύσθωσαν· καὶ καθεξῆς οἱ λοιποὶ κυκλόθεν τῶν ἱππέων, καθὼς ὁ τύπος ἐξετέθη, ἀπληκευέτωσαν ἔνδον ἔχοντες τὰ ἑαυτῶν ἄλογα, μέσον δὲ αὐτῶν ἐχέτωσαν μονοπάτια τὰ μὲν εὐθὺ ἀποτεινόμενα τὰ δὲ ἐγκαρσίως πρὸς τὸ μὴ στενοχωρεῖσθαι· τὰς δὲ δημοσίας ὁδοὺς καὶ τὰ μονοπάτια εἰς τὰ ἀπλῆκτα αὐτῶν διερχόμενα μὴ ἀποκλειέτωσαν ἀλλ' ἀνεῳγμέναι ἔστωσαν, ἵνα οἱ εἰς τὰς διακονίας βουλόμενοι ἱππεῖς ἐξέρχεσθαι μὴ κωλύωνται. εἰ δὲ καὶ τέσσαρες ταξιαρχίαι ψιλῶν εἶεν μὴ συντασσόμεναι τοῖς ὁπλίταις εἰς τὰς τέσσαρας γωνίας τοῦ ἀπλήκτου τῶν πεζῶν γαμματοειδῶς ἀπληκευέτωσαν, ὡς δηλοῖ τὸ τοῦ ἀπλήκτου διάγραμμα. ἕκαστον δὲ τάγμα καὶ θέμα ὀφείλει διακεκριμένον εἶναι ἀπὸ τοῦ γειτονοῦντος θέματος ἢ τάγματος ὁδοῖς ἑκατέρωθεν τέσσαρσι, τὸ μὲν εἰ [fol. 237v V] τύχοι ταῖς δημοσίαις, τὸ δὲ ταῖς μερικαῖς· | ἐχέτωσαν δὲ καὶ καθ' ἑαυτοὺς μονοπάτια, ὅπως ἀκωλύτως καὶ ἀλύστως ἐν ταῖς οἰκείαις χρείαις καὶ διακονίαις διέρχωνται.

---

3 εἰθ' *V*, εἴθ' *P*¹, εἶθ' *nd* ‖ 5 τὲ *V* | ἀπλήκτα *V* ‖ 5/6 Verba καὶ πεντηκόνταρχοι om. *P*¹ ‖ 8 ἐξετάθη *P*¹ ‖ 10 Post στενοχ. addit *P*¹ τοὺς ἀνθρώπους ἤτοι τοῖς πολεμισταῖς ‖ 11 τὰ εἰς τὰ *P*¹ | ἀπλήκτα *V* ‖ 12 ἀλλ' ἀνεωγμέναι *P*¹*V* ‖ 14 τέσσαρες *P*¹, δ̄ *V* | Post ψιλῶν additum est in *P*¹ ἀνθρώπων ‖ 16 γαματοειδῶς *P*¹*V*, γαμματοειδῶς *d* et manus secunda cod. *m* ‖ 17 τοῦ ἀπλήτου *V* | Post ἀπλήκτου *P*¹ inseruit νῦν ‖ 20 Pro ταῖς prius *P*¹ habet νῦν | μετρικαῖς *P*¹ ‖ 21 ἀκολύτως *P*¹*V*, ἀκωλύτως *d* | ἀλύπως *P*¹ ‖ Post 22 διέρχωνται *V* atque *P*¹ varias figuras atramento pictas praebent, *V* foliis 237v—239v, *P*¹ foliis 217v—219v

II.

Ὅτι οὐ δεῖ ἀπληκεύειν ἐξ ἑτέρου θέματος ἢ τάγματος λαὸν εἰς ἑτέρου θέματος ἢ τάγματος ἀπλῆκτον. [fol. 240r V, 220r P^1]

Οὐ δεῖ δὲ ἀφ᾽ ἑτέρου τάγματος ἢ θέματος ἢ βάνδου ἢ τούρμας εἰς ἕτερον θέμα ἢ τάγμα ἢ βάνδον ἢ τούρμαν ἀπληκεύειν, ἀλλ᾽ ἕκαστον μετὰ τοῦ ἄρχοντος αὐτοῦ, ἵνα δουλείας τῇ τάξει ἐκείνῃ αἰφνιδίως ἐπερχομένης σῶον ἔχῃ καὶ ἀνελλιπῆ τὸν λαὸν αὐτῆς. ὁμοίως καὶ τὰ ἡμερήσια ἀδνούμια, καθὼς ἔθος ἦν τοῖς παλαιοῖς, χρὴ γίνεσθαι καὶ ἕκαστον τῶν μικρῶν ἀρχόντων τῶν ἱππέων τε καὶ πεζῶν τὸν ὑπ᾽ αὐτοὺς λαὸν καθ᾽ ἑκάστην βλεπέτωσαν, ἵνα τῇ ἀκριβείᾳ τῶν ἡμερησίων ἀδνουμίων συστελλόμενοι ἐπὶ τὸ αὐτὸ ἀπληκεύωσι καὶ μὴ τολμᾷ τις ἀπολειφθῆναι τοῦ ἰδίου ἄρχοντος. τούτου δὲ γινομένου καὶ εἴπέρ τις εἰσελθεῖν δυνηθῇ τῶν κατασκόπων εὐχερῶς φωραθήσεται. τὰ δὲ τῶν ἱππέων οὕτω τυπωθήτωσαν ἀπλῆκτα ἵνα, ὥσπερ ἐπὶ παρατάξεως μέλλωσιν ἵστασθαι, οὕτω καὶ ὁδοιπορῶσι καὶ σύνεγγυς ἀλλήλων ἀπληκευέτωσαν. ἐχέτω δὲ τῶν πεζῶν εἷς ἕκαστος τριβόλους ἀνὰ ὀκτὼ ἐξηρτημένους σχοινίου λεπτοῦ, ἀλλὰ καὶ ἑκάστη δεκαρχία σκόλοπα μικρὸν σιδηροῦν ἐχέτω, εἰς ὃν ἡ ἀρχὴ ὀφείλει τῆς τῶν τριβόλων σχοίνου ἀποδεσμεῖσθαι· ῥιπτέσθωσαν δὲ δέκα ὀργυιὰς ἀπὸ τοῦ τάφρου πηγνυμένου τοῦ σκόλοπος ἐν τῇ γῇ. ὀρυττέσθωσαν δὲ καὶ λάκκοι οἱ λεγόμενοι ποδοκλάσται, καὶ ἐν αὐτοῖς ὀξεῖς ξύλινοι σκόλοπες καταπηγνύσθωσαν· ἐκτὸς δὲ τῶν τοιούτων γνωρίσματι γινέσθω ἢ τάφρος μικρὸς ἢ ἀπὸ χω-

---

1 ἐξ ἑτέρου θέματος ἢ τάγματος P^1, ἐξ ἑτέρου θέματος V ‖ 2 ἄπληκτον P^1V, ἀπλῆκτον lp ‖ 5 Verba inde a θέμα usque ad ἀλλ᾽ ἕκαστον με] omissa sunt in P^1; unde qualis longitudinis fuerint versus libri archetypi, facile colligi potest ‖ 9 Cf. p. 50, vs. 1 ‖ 12 ἐπιτὸ P^1V ‖ 13 τολμᾷ τίς P^1 ‖ 16 ἄπληκτα P^1V, ἀπλῆκτα Graux ‖ 21 ὃν Graux, ὃ P^1V | σχοί////ου V ‖ 22 P^1V ῥιπτέσθωσαν δὲ ἀπὸ ὀργυιῶν δέκα τῆς τάφρου, Graux coniecit ῥ- δὲ ὀργυίας ι′ ἀπὸ τοῦ τάφρου

μάτων βουνίταια μικρὰ ἢ λιθοσωρεῖαι, ἵνα μὴ ἀσκόπως τινὲς τῶν τοῦ ἰδίου στρατεύματος περιπίπτοντες τοῖς τοιούτοις καταβλάπτωνται, ἀλλὰ καὶ ῥάβδους μικρὰς ἐν τῇ γῇ πηγνύτωσαν· καὶ κώδωνας εἰς σχοινία δεδεμένους τῶν ῥάβδων ἀπαιωρείτωσαν κύκλῳ παντὸς τοῦ χάρακος, ὅπως οἱ λανθάνοντες πολέμιοι ἢ κατάσκοποι τὰς βίγλας περιτυγχάνοντες τοῖς τοιούτοις εὐκόλως ἐπιγινώσκωνται.

III.

Περὶ τῶν ἐν νυκτὶ ὀφειλουσῶν γίνεσθαι φυλακῶν ἤτοι κερκίτων.

Δεῖ δὲ τὰς ἔνδον τοῦ χάρακος ἐν νυκτὶ φυλακὰς ἤτοι κέρκιτα ἐπιμελῶς γίνεσθαι ἐν τῷ κενῷ χωρίῳ, καὶ ἕκαστος μὲν τῶν ταξιάρχων φυλακὰς δι’ ὅλης νυκτὸς εἰς τὸν ἴδιον ἐχέτω λαόν· ὁ δὲ ὁπλιτάρχης ἀπὸ τῶν ψιλῶν τῶν μὴ τεταγμένων εἰς τὰς ταξιαρχίας ἀναλαμβανόμενος ἄνδρας ἑκα-
[fol. 220ᵛ P¹] τὸν ‖ ἕως μεσονυκτίου, καὶ τούτους ὑπαλλάττων δι’ ἑτέρων ἑκατόν, ἄχρι πρωίας ποιείτω τὴν ὀφειλομένην φυλακὴν ἔνδον τοῦ χάρακος ἐν τῷ κενῷ χωρίῳ κυκλεύων τὴν στρατιάν·
[fol. 240ᵛ V] τὸ γὰρ κενὸν χωρίον τοῦτο | χάριν ἐκ προμηθείας πρὸς λυσιτέλειαν ἀφορίζεται, ὅπως μὴ μόνον ἐν αὐτῷ τὰ κέρκιτα γίνωνται, ἀλλὰ καὶ πολεμίων ἐνίοτε προσβαλλόντων τῷ χάρακι καὶ βέλη κατὰ τοῦ ἀπλήκτου πεμπόντων εἰς αὐτὸ καταπίπτωσι καὶ μὴ τοὺς ἔνδον ἵππους ἢ τοὺς ἀνθρώπους λυμαίνωνται· πολλὰ γὰρ ἐναντία τισὶ στρατεύμασιν ἐκ τοῦ τοιούτου τρόπου συνέβησαν. πρὸς τούτῳ δέ, ἵνα καὶ οἱ

---

1 *βουνίταια* in *V* ita, ut etiam pro *βουνίτζα* legere possis; sed et *v* habet (idem legit quondam Meursius; cf. eius Glossar. Graeco-barbari p. 92); *βουνίτζα* *P*¹ ‖ 5 *κύκλων* *P*¹*V*, *κύκλῳ* *R* ‖ 7 *ἐπιγινώσκονται* omnes, quos excussi, codices, *ἐπιγινώσκωνται* Graux ‖ 11 *κεινῷ* *P*¹ ‖ 12 *ταξιαρχῶν* *P*¹*V*, *ταξιάρχων* *p* ‖ 14 *ἕκατον* *P*¹*V*, *ἑκατὸν* *dnpkl* ‖ 18 Verba *κενὸν χωρίον* . . . . . *λυσιτέλειαν* om. *P*¹; pro *ἀφορίζεται* legitur ibidem *κεφορίζεται* ‖ 22 *καταπίπτουσι*, omnes, quos contuli, libri mss., *καταπίπτωσι* Graux ‖ 24 *πρὸς τοῦτο* *P*¹*V*, *πρὸς τούτῳ* abc?

εἰς τὰ ἄκρα ἀπληκεύοντες στρατηγοί, εἰ συμβῇ πόλεμον συμπεσεῖν τοῖς τοῦ χάρακος, εἴτε ἐν ἡμέρᾳ εἴτε ἐν νυκτί, πεζῇ μετὰ τοῦ μαχίμου αὐτῶν λαοῦ παραταττόμενοι ἐν τῷ κενῷ χωρίῳ ἐπιβοηθῶσιν αὐτοῖς. δεῖ δὲ τοὺς τοιούτους ἀκρίτας στρατηγοὺς σὺν τῷ ὑπ' αὐτοὺς λαῷ ἐξωτέρω πάντων τῶν θεμάτων καὶ πλησίον τῶν πεζῶν σκηνῶν μόνῃ διειργομένους τῇ μέσον κειμένῃ ὁδῷ τῇ ὁριζούσῃ τὰ τῶν ἱππέων καὶ πεζῶν ἀπλῆκτα ⟨ἀπληκεῦσαι⟩, ἵν' ἐν τοῖς ἀπροόπτοις καὶ αἰφνιδίως ἀπὸ τῶν ἐχθρῶν ἐπερχομένοις πολέμοις ἐξ ἑτοίμου καὶ προχείρως ὄντες τοῖς τοῦ χάρακος συνεργῶσι καὶ συνασπίζωνται. ὁ δὲ ὁπλιτάρχης μὴ μόνον δι' ὅλου ποιείτω τὰ κέρκιτα, ἀλλ' ὑπαλλαττέσθω διὰ τὸν πολὺν κόπον, ἀνθρώπων πιστῶν ὡς εἰκὸς ἀποστελλομένων παρὰ τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου.

IV.

Περὶ τῶν ὀφειλουσῶν γίνεσθαι ἐν νυκτὶ καὶ ἡμέρᾳ βιγλῶν.

Τὰ δὲ ἐξ ἔθους ἐξώβιγλα καὶ ἐσώβιγλα τὰ καὶ πλησιέστερον ἱστάμενα δεῖ ποιεῖν ἀπὸ ἀκοντιστῶν καὶ τοξοτῶν πεζῶν. τὰ δὲ ἐσώβιγλα ἐχέτω ἄνδρας ὀκτώ, διιστάμενα ἕκαστα ἀπὸ τοῦ χάρακος ὡσεὶ τόξου βολὴν ἢ καὶ μικρόν τι πλέον. τὰ δὲ ἐξώβιγλα μακρότερον στηκέτωσαν ἀπέχοντα τῶν ἐσωβίγλων μὴ πλέον λίθου βολῆς· ταῦτα δὲ ἀπὸ τεσσάρων ἀνδρῶν ἔστωσαν, ἅτινα καὶ καλοῦνται τετράδια. ἑκάστη δὲ ταξιαρχία εὐτρεπίζειν ὀφείλει ἀνὰ πέντε ἐσώβιγλα καὶ ἐξώβιγλα διιστάμενα κατὰ πλάτος ἀλλήλων ὡσεὶ ὀργυιὰς πεντήκοντα. αἱ δὲ ἔτι μακρότερον ὀφείλουσαι γίνεσθαι βίγλαι διὰ τοῦ ἱππικοῦ μαχίμου γινέσθωσαν, καὶ αἱ μὲν μετὰ

---

3 *πεζῇ* *P¹V* ‖ 6 *μονῇ* *V* ‖ 8 *ἀπληκεῦσαι* ego inserui ‖ 11 *μόνος* tentavit Graux ‖ 17 *ἐξέθους* *P¹V* | *ἐξόβιγλα* *P¹* | *ἐσόβιγλα* *P¹V*, *ἐσώβιγλα* *dv* et praeter *En* fortasse ceteri ‖ 19 τὸ δὲ *ἐσώβιγλον* *P¹V*, emendavit Graux ‖ 24/25 ἐσωβίγλων καὶ ἐξωβίγλων *P¹V*, emendavit Graux ‖ 25 ὀργυίας P¹V

τοὺς πεζοὺς ἱστάμεναι πρῶται καὶ αὗται δι' ἓξ γινέσθωσαν ἱπποτῶν ἀπέχουσαι τῶν τε πεζικῶν ἐξωβίγλων, εἰ ὁμαλός [fol. 221r P^1] ἐστι ‖ καὶ καθαρὸς ὁ τόπος ἐξ ἱκανοῦ διαστήματος· αἱ δὲ πορρωτέρω γινόμεναι, αἳ καὶ ἐξώβιγλα καλοῦνται, τετράδια ἔστωσαν· αὗται δὲ ἔτι φαίνοντος τοῦ ἡλίου πρὸς τὴν τεταγμένην φυλακὴν τῆς νυκτὸς ἀπίτωσαν. εἰ δὲ δύσβατος εἴη καὶ δασὺς ὁ τόπος καὶ ἄνευ ὁδῶν οὐχ οἷός τε ἐστὶ περι|- [fol. 241r V] πατεῖσθαι, μόναι αἱ ὁδοὶ ἀσφαλῶς μὴ πόρρω τοῦ ἀπλήκτου φυλαττέσθωσαν, καὶ μᾶλλον ἐκεῖναι, ἀφ' ὧν ὑπόληψίς ἐστι πολεμίους ἐπελθεῖν· εἰς μόνα δὲ τὰ μέρη, ἀφ' ὧν — ὡς εἴρηται — ὑποψία ἐστὶν ἐπελεύσεσθαι ἐναντίους, οἱ ἱππόται φυλαττέτωσαν. τὰ δὲ λοιπά, τὰ κύκλῳ, διὰ μόνων γενέσθω τῶν πεζῶν. ἐχέτωσαν δὲ καὶ ἀρχηγοὺς τῶν χρησίμων, ἵνα καὶ παρ' αὐτῶν δεόντως αἱ βίγλαι τὰς στάσεις λαμβάνωσι καὶ κερκιτεύωνται πρὸς τὸ μὴ τῆς φυλακῆς ἀμελεῖν. εἰ δέ τινα ἀπαγγελίαν αἱ βίγλαι κομίζουσι, μὴ περιδεῶς ἢ ἀτάκτως ὡς ἔτυχε περιπατείτωσαν, ἀλλ' ἀσφαλιζέσθωσαν τοῦ μήτε τοὺς κώδωνας διασεῖσαι μήτε τεταραγμένως εἰς τὸν χάρακα εἰσελθεῖν, κἀντεῦθεν δειλίαν ἐμποιῆσαι τοῖς ἔνδον, ἀλλ' ἠρέμα τοὺς κώδωνας ὑπελθόντες ἀταράχως τῷ ἰδίῳ ταξιάρχῃ καὶ τῷ ὁπλιτάρχῃ ἀπαγγελλέτωσαν τὸ συμβάν, καὶ παρ' εὐθὺ ὁ μηνύων στελλέσθω παρ' ἐκείνων τῷ ἁγίῳ ἡμῶν βασιλεῖ. καὶ ταῦτα μὲν ἐν νυκτί· τῇ δὲ ἡμέρᾳ οἱ ἱππεῖς μόνοι τὰς βίγλας ποιείτωσαν, πορρωτέρω δὲ καὶ μακρότερον, εἴπερ ὁ τόπος, ὡς εἴρηται, φανερός ἐστι καὶ ἐπίπεδος.

V.

Πῶς δεῖ σμικρύνεσθαι τὸ ἀπλῆκτον ὁλοκλήρου τῆς πεζικῆς στρατιᾶς ὑπαρχούσης, τῆς δὲ ἱππικῆς ὀλιγοστῆς· πῶς δὲ ταύτης πολλῆς οὔσης, τῆς δὲ

---

1 *διεξγινέσθωσαν V* ‖ 9 *ὑπόληψις ἐστὶ* omnes, quos inspexi, codices ‖ 9/10 Verba *ἀφ' ὧν* usque ad *τὰ μέρη* desunt in P^1 | *πολεμίοις* P^1V, corr. Graux ‖ 11 *ἱππῶται V* ‖ 21 *ἀπαγγελέτωσαν V* ‖ 22 *παρευθὺ* P^1 ‖ 25 *φανερός ἐστιν* V

πεζικῆς ἐλαχίστης, ἀναπληροῦν τὸ ἐνδέον καὶ ἀσφαλῶς περιφυλάττειν τὴν στρατιάν.

Εἰ δέ γε συμβῇ ὀλιγοστὸν εἶναι τὸ τῶν ἱππέων στράτευμα, τὸ δὲ πεζικὸν ὁλόκληρον, καὶ χῶρος κενὸς ἔνδον οὐκ ὀλίγος καταλιμπάνεται, δεῖ τρεῖς ὁπλίτας ἱστᾶν εἰς τὴν μίαν ὀργυιὰν καὶ ποιεῖν πύκνωσιν, καὶ ἐκ τούτου σμικρυνθήσεται ἀναλόγως τῷ πλήθει τῶν ἱππέων ὁ τοῦ ἀπλήκτου χῶρος καὶ γενήσεται σύμμετρος.

Εἰ δὲ τὸ μὲν ἱππικὸν πλεῖον εἴη, τὸ δὲ πεζικὸν ὀλίγον ὡς μὴ ἐξικανεῖν τὴν στρατιὰν δύο ἱσταμένων ὁπλιτῶν, δηλονότι καθ' ἑκάστην ὀργυιάν, καθὼς ἐξεθέμεθα, διὰ τῶν ἡμίσεων ἀκοντιστῶν πασῶν τῶν ταξιαρχιῶν μὴ ὁμοῦ ἱσταμένων, ἀλλὰ κατὰ πέντε ὁπλίτας ἑνὸς εἰσαγομένου ἀκοντιστοῦ καὶ κατὰ μέτωπον τούτοις ‖ συνταττομένου ὁ τοῦ [fol. 221v P^1] *ἀπλήκτου μεγεθύνεται τόπος· οἶδε γὰρ ὁ τῶν ὁπλιτῶν ἀριθμὸς ἐλαττοῦν καὶ αὐξάνειν τὸ ἄπληκτον.*

VI.

Περὶ τῶν δώδεκα ταξιαρχιῶν. [fol. 241v V]

Εἰ δὲ δύο καὶ δέκα ταξιαρχίαι ὦσιν ἐν τῇ ἐκστρατείᾳ καὶ τούτων ἑκάστη τοὺς ἀνὰ πεντακοσίους ὁπλίτας καὶ διακοσίους ἀκοντιστὰς καὶ τριακοσίους τοξότας ἔχει, ἀποτελοῦσι μὲν καὶ αὗται τετράγωνον σχῆμα· ἕκαστα δὲ τῶν πλευρῶν εἰς ὀργυιὰς ἀνὰ ἑπτακοσίας πεντήκοντα τὸ μῆκος ἀποτείνεται, δύο ὁπλιτῶν δηλαδὴ ἱσταμένων ἑκάστῃ ὀργυιᾷ. ὁ δὲ μινσουράτωρ κατὰ τὸν δοθέντα αὐτῷ τύπον μετρεῖν ὀφείλει μετὰ τοῦ σχοινίου ἀπὸ τοῦ μέσου πρὸς ἀνατολὰς ὀργυιὰς τριακοσίας ἑβδομήκοντα πέντε, ὁμοίως καὶ πρὸς δύσιν, εἶτα καὶ πρὸς ἄρκτον καὶ μεσημβρίαν τῷ αὐτῷ μέτρῳ καὶ τότε

---

6 *ὀργυίαν* P^1V | *ποιεῖν πνεῖν* V ‖ 11 *καθεκάστην* P^1 | *ὀργυίαν* P^1V ‖ 12 *ταξιαρχῶν* P^1V, *ταξιαρχιῶν* Graux ‖ 16 *αὐξανεῖν* V ‖ 17 *ταξιαρχῶν* P^1V, corr. Graux ‖ 22 ὀργυίας P^1V *item infra* vs. 25 ‖ 23 ὀργυία P^1V ‖ 26 ἑβδομήκοντα V

κατὰ μέσον πήξασθαι τὴν βασιλικὴν σκηνήν, καὶ διδόναι τῷ μὲν βασιλικῷ ἀπλήκτῳ ὀργυιὰς διακοσίας δεκαὲξ κατά τε εὖρος καὶ μῆκος· ὁμοίως καὶ τοῖς λοιποῖς τέσσαρσι μέρεσι τὸν αὐτὸν ἀποδιδότω ἀριθμόν· πεντήκοντα δὲ κύκλῳ ὀργυιὰς ὥσπερ εἴρηται ἐν ἑκάστῳ μέρει ἀφοριζέτω τοῖς τε κενοῖς χωρίοις καὶ τοῖς τῶν πεζῶν ἀπλήκτοις καὶ τῇ ὁδῷ τῇ διακρινούσῃ τὰς τῶν ἱππέων καὶ πεζῶν σκηνάς. δύο δὲ εἴσοδοι, ὅτε δώδεκα ταξιαρχίαι ὦσι, καθ' ἑκάστην πλευρὰν ἀπὸ τοῦ χάρακος εἰσίτωσαν, καὶ ἡ μὲν ἐξ ἀνατολῶν ἢ καὶ βορειοτέρα κατέναντι τῆς τοῦ πρωτοβεστιαρίου σκηνῆς μέχρι τοῦ κενοῦ χωρίου τῆς κόρτης φθάζουσα ἵσταται, ἐπιμιγνυμένη τῇ ἀπὸ ἄρκτου ἐρχομένῃ ἀνατολικωτέρᾳ καὶ δημοσίᾳ ὁδῷ· ὁμοίως δὲ καὶ αἱ λοιπαὶ δεξιαὶ ὁδοί, ἥ τε ἀνατολικὴ καὶ νότιος ἐξ ἐναντίας τῆς τοῦ ἐπὶ τῆς τραπέζης σκηνῆς ἐπιμίγνυται, παρόμοιον δὲ καὶ αἱ δυτικαὶ ταῖς δυσὶ πλαγίοις· ὧδε ἑνοῦνται γαμματοειδῶς, καθὼς ἡ ἐκτεθεῖσα ἱστορία περὶ τούτων καὶ περὶ τῶν λοιπῶν ἀναδιδάσκει. μέσον δὲ τῶν δύο δημοσίων ὁδῶν, τῶν ἐν ἑκάστῳ πλευρῷ ἀποκεκριμένων, ὁδὸς ἀφοριζέσθω στενὴ δύο ὀργυιὰς εὖρος ἔχουσα καὶ τεμνέτω τὰ τῶν ἱππέων ἀπλῆκτα καὶ ἄχρι τῆς κόρτης ἀπευθυνομένη εἰς αὐτὴν ἀποληγέτω, ἵνα εὐχερῶς καὶ ἀκόπως πρὸς τὴν κόρτην συνέρχωνται ἕκαστοι εἰς τὰς τεταγμένας αὐτῶν διακονίας. ἐπεὶ δὲ ἡ τῶν τόπων ἀνεπιτηδειότης οὐ συγχω- [fol. 222r P^1] ρεῖ ‖ πολλάκις τὸ ἀπλῆκτον γενέσθαι τετράγωνον (ὑπεσχόμεθα δὲ ἀνωτέρω περὶ τῶν στενῶν καὶ ἀνεπιτηδείων τόπων ἐκθέσθαι πῶς δεῖ τὸ ἀπλῆκτον ἑτέρως ἐν αὐτοῖς σχηματίζεσθαι), λέγομεν, ὅτι πολλάκις ἑτερόμηκες, εἴτε καὶ τρίγωνον ἢ στρογγύλον πρὸς τὴν κατεπείγουσαν χρείαν καὶ τὴν τοῦ τόπου θέσιν ἀποτελεῖται. εἰ δὲ ἔτι ὁ τόπος στενὸν πάντῃ

---

2 ὀργυίας P^1V item infra vs. 4 ‖ 3 εὗρος *V* ‖ 4 ἀποδιδότων P^1V, ἀποδιδότω *R* ‖ 5 ἀφορίζετω *V* | καινοῖς *V* ‖ 8 καθεκάστην P^1 ‖ 10 ἀβεστιαρίου P^1V, πρωτοβεστιαρίου *d* ‖ 14 ἐξεναντίας P^1V, ἐξ ἐναντίας *n* ‖ 16 ὧδε Graux, omm. P^1V | ἐνοῦνται P^1, ἐννοῦνται *V*, ἑνοῦνται *ndkl* (in *k* fecit manus secunda) ‖ 19 στενὴ iteratur in *V* | ὀργυίας P^1V | εὗρος *V* ‖ 25 Cf. *p. 2, vs. 7* ‖ 27 λέγωμεν coniecit Graux | Post πολλάκις P^1 *addit* τὸ ἀπλῆκτον ἑτέρως ‖ 29 πάντη P^1V

καὶ ἐπίμηκες αὐτὸ ποιεῖ, | ἔστι δὲ καὶ ὑπερκείμενον ἐκ [fol. 242r V] τοῦ σύνεγγυς ὄρος, εἰ μὲν τὰ ἐξ αὐτοῦ πεμπόμενα βέλη φθάζουσι τὸ ἀπλῆκτον, εἰ τάχα καὶ ἔνδον τοῦ χάρακος εἰς τὸ κενὸν πίπτουσι χωρίον, δύναται τὸ στρατόπεδον ἐξ ἀνάγκης τοῦ ἀπλήκτου διατεθέντος πρὸς τὴν θέσιν τοῦ τόπου μίαν νύκταν εἰς ἐκεῖνον τὸν ἐπισφαλῆ τόπον στῆναι πλὴν κατοχυρούσθω τὸ ὕποπτον μέρος διὰ πλειόνων ὁπλιτῶν καὶ ψιλῶν, ἵν' εἴ ποτε οἱ πολέμιοι ἐπιδραμόντες τῷ τοιούτῳ τόπῳ ποιήσαιεν νυκτοπόλεμον, οἱ τοῦ χάρακος ἀσθενεῖς μὴ εὑρεθῶσι καὶ ἀπαράσκευοι. εἰ δὲ τὰ βέλη εἰς τὰς σκηνὰς εὐχερῶς ἐμπίπτειν δύνανται, ἀποφεύγειν δεῖ τοῦ μὴ ἀπληκεύειν εἰς τοὺς τοιούτους τόπους. πολλὰ γὰρ τῶν στρατοπέδων νυκτὸς τῷ τοιούτῳ τρόπῳ ἀπώλοντο. διὰ τοῦτο χρεία ἐστὶν ἐρευνᾶν, ἐρωτᾶν, προμελετᾶν καὶ συμβουλεύεσθαι μετὰ δουκατώρων ἐμπείρων, καὶ ἐὰν εὑρίσκηται τόπος ἐπιτηδειότερος, εἰ τάχα καὶ μήκοθέν ἐστι, κινείτω καὶ πρὸ τῆς αὐγῆς τὸ στρατόπεδον καὶ μικρὸν παρεσπορευέτω, ἕως ἂν φθάσῃ εἰς τὸν ἐπιτήδειον τόπον, πλὴν μετὰ τῆς καθηκούσης φυλακῆς καὶ ἀσφαλείας ποιείσθω τὴν ὁδοιπορίαν· τοῦτο δὲ τάχα γενήσεται πολεμίων ἐφόδου μὴ ὑφορωμένης ἐν αὐτῇ τῇ ἡμέρᾳ· εἰ δὲ πολέμιοι προσδοκῶνται, ἐν στενοῖς καὶ δυσβάτοις τόποις νυκτὸς ὁδοιπορεῖν οὐ συμφέρον. κρεῖττον γὰρ εἰς τὸν πλησιέστερον καὶ ἐπισφαλῆ ἀπληκεύειν ἐν ἡμέρᾳ τόπον καὶ δύναμιν πεζικὴν ἀποστέλλειν τοξοτῶν καὶ ἀκοντιστῶν πρὸς τὸ ἀνερευνήσασθαι καὶ κατασχεῖν τοὺς ἐπισφαλεῖς καὶ δασεῖς τε καὶ δυσκόλους τόπους ἐκείνους καὶ παντοίως μηχανᾶσθαι καὶ ἀσφαλίζεσθαι κατ' αὐτὴν τὴν νύκταν μὴ ἐναντίον τι συμβῆναι τῇ στρατιᾷ.

---

2 ὅρος *V* | ἐξαυτοῦ P^1, ἐξαυτῶν *V* ‖ 4 ἐξανάγκης *V* ‖ 6 κατωχυρούσθω P^1V, κατοχυρούσθω *Em* ‖ 9 ποιήσε ἐννυκτοπόλεμον P^1, ποιήσειεν νυκτοπόλεμον *V*, ποιήσαιεν νυκτ. *Edvabc* et manus secunda cod. *m* ‖ 16 μήκοθεν ἐστὶν *V*, μήκοθεν ἐστὶ P^1 ‖ 17 παρεσπερευέτω P^1V, παρεσπορευέτω *vd*, manus secunda cod. *m* ‖ 22 ὁδοιπορεῖαν P^1 ‖ 23 Post ἐπισφ. P^1 addit καὶ ‖ 27 καταὐτὴν *V* ‖ 28 τί P^1, τίς *V*

VII.

Ὅτι δεῖ ἐπισφαλῶν καὶ στενῶν τόπων ἀπαντώντων εἰς δύο διαιρεῖν ἅπασαν τὴν στρατιὰν καὶ διχῶς ἀπληκεύειν.

[fol. 222r P^1] Δεῖ δὲ ἐπισφαλοῦς τοσούτου ὄντος τοῦ τόπου ἐξ ἀνάγκης καὶ διχῇ διαιρεθῆναι τὴν στρατιὰν καὶ ἰδίᾳ ἕκαστον τῶν μερῶν ἐν εὐρυχώρῳ καὶ ἐπιτηδείῳ τόπῳ ἀπληκεῦσαι, τῶν κενῶν χωρίων καὶ τῶν τετυπωμένων διαστημάτων ἀκριβῶς ἐν τοῖς δυσὶ τῆς στρατιᾶς τμήμασι φυλαττομένων. τάξεις δὲ πεζικὰς τὰς ἀναλογούσας ἑκατέρῳ τῶν ἀπλήκτων χρὴ διανεῖμαι πρὸς τὸ ἀσφαλῶς κύκλῳ ἀμφότερα διαφυλάξαι, εἰ δὲ μὴ ἐξαρκοῦσιν οἱ ὁπλῖται, καὶ ἀπὸ τῶν ἀκοντιστῶν δεῖ κατὰ μέτωπον τοῖς ὁπλίταις ἐντάξαι ἄχρις ἂν συμπεριλάβωσιν ἔνδον τὸ ὅλον ἱππικὸν στράτευμα. αὕτη δὲ ἡ ἀκρίβεια [fol. 242v V] εἰς ἀμφότερα, ὥσπερ εἴρηται, | τηρηθήτω τὰ ἀπλῆκτα. προσήκει δὲ καὶ ἄρχοντα τὸν ἐνδόξων συνέσει καὶ πείρᾳ κεκοσμημένον ἐπιστῆσαι τῷ ἑτέρῳ τμήματι τοῦ στρατοῦ, ὅστις κἀκείνῳ τῷ μέρει ἐν ταύτῃ τῇ νυκτὶ τὴν ἐφαρμόζουσαν περιποιήσεται φυλακήν. κρεῖττον γοῦν ἐστι καὶ ὠφελιμώτερον τὸ διῃρημένως ἀπληκεῦσαι ἢ τὸ ἐσφιγμένως καὶ τὸν χάρακα ἔχειν τοῖς ὄρεσι προσεγγίζοντα, κἀντεῦθεν τὰ ἐξ αὐτῶν πεμπόμενα βέλη εὐχερῶς ἐμπίπτειν ταῖς σκηναῖς καὶ τῷ στρατοπέδῳ μεγίστην προξενεῖν τὴν βλάβην. εἰ δὲ τὸ διορίζον ὄρος ἀμφότερα τὰ ἀπλῆκτα διέλευσιν δίδωσι τοῖς βουλομένοις ἀπὸ ἑτέρου διαβαίνειν πρὸς ἕτερον πρὸς τὸ ἀλλήλοις ἐπιβοηθεῖν εἰ τύχοι ἔφοδον γίνεσθαι πολεμίων, ἴσως οὐδὲ δόξει διῃρημένον εἶναι τὸ ἀπλῆκτον, ἀλλ' ὅσον ἐκ τῆς συμμαχίας ὥσπερ ἡνωμένον φανήσεται· εἰ δ' αὖ πάλιν τὸ διεῖργον ὄρος κωλύει τὴν πρὸς ἄλληλα τῶν ἀπλήκτων διάβασιν, καὶ πορρωτέρω μακρὰν ἀπ' ἀλλήλων τὰ ἀπλῆκτα

---

1 ἀπάντωντων V ‖ 2 β̄ P^1 | τὴν] τῆς P^1 ‖ 4 τοσούτου P^1, τοσοῦτον V ‖ 5 στρατίαν P^1V ‖ 17 τὰ μέρει V ‖ 18 γ' οὖν P^1 ‖ 19 διηρημένως P^1V et R (praeter l, qui habet διῃρημένως) ‖ 26 διηρημένον P^1V | ἄπληκτον P^1 ‖ 29 ἀπαλλήλων P^1

γίνεσθαι βιάσαιτο, εἰ ἀγρύπνως καὶ κατὰ τὸ δέον ἑαυτοὺς περιφυλάξαιεν, καὶ οὕτως οὐδεμία τούτοις τῇ τοῦ Χριστοῦ χάριτι συμβήσεται βλάβη. καθάπερ γὰρ οὐ μόνον μετὰ βαρείας δυνάμεως, ἀλλὰ καὶ μετ' εὐαριθμήτου πληθύος ἐνίοτε εἰσελάσαν ἐν τῇ πολεμίᾳ τὸ ἡμέτερον στράτευμα οὐδεμίαν ὑπέστη βλάβην, ἀλλὰ καλῶς συνετηρήθη, οὕτω δὴ καὶ ἐν μιᾷ νυκτί, εἰ τῇ προσηκούσῃ χρήσονται ἀγρυπνίᾳ, οὐδεμίαν ἀπὸ τῆς διαιρέσεως ὑποστήσονται βλάβην.

VIII.

Περὶ τοῦ ὁπόσον ἀριθμὸν ὀφείλει ἔχειν τὸ ἱππικὸν στράτευμα.

Τὸ δὲ ἱππικὸν μάχιμον, εἴπερ ἐστὶν ἀνδρῶν ὀκτὼ χιλιάδων ‖ καὶ διακοσίων τῷ ἀριθμῷ, εἰς εἰκοσιτέσσαρας αὐτὸ [fol. 223r P^1] τάξεις δεῖ διαιρεῖν ἐχούσας ἀνὰ ἄνδρας τριακοσίους· ταύτας δὲ τὰς εἰκοσιτέσσαρας τάξεις εἰς τέσσαρα πάλιν δεῖ ποιεῖν, ὥσπερ καὶ τῶν πεζῶν, ἰσοδυναμοῦντα ἀλλήλοις, ἔχοντα ἀνὰ ἓξ παρατάξεις, ἵνα τῆς στρατιᾶς ὁδευούσης ἁπάσης εἰς τὰ τέσσαρα μέρη τό τε ἔμπροσθεν καὶ ὄπισθεν καὶ τὰ πλάγια αἱ ἀνὰ ἓξ παρατάξεις ὁδοιπορῶσιν. ἡ δὲ τοῦ βασιλέως παράταξις ἐκτὸς τούτων ἔστω χιλίους ἔχουσα, | ἵνα τοῖς [fol. 243r V] πονοῦσι μέρεσιν ἐν ταῖς μάχαις αὐτὸς ἐκ τῆς ἰδίας ἀποστέλλων παρατάξεως ἐπιβοηθῇ. εἰ δὲ πλέον εἴη τῶν ὀκτὼ χιλιάδων καὶ διακοσίων ἀνδρῶν τὸ ἱππικόν, αἱ εἰς τέσσαρα μέρη ἔνδον παρατάξεις αὔξησιν λαμβανέτωσαν. καὶ γὰρ ἀνάγκη ἐστὶ βασιλέως ταξειδεύοντος μὴ μόνον ὀκτὼ χιλιάδας ἀριθμὸν ἔχειν τὸ ἱππικὸν στράτευμα, ἀλλὰ καὶ πλείονας. ταύτας γὰρ τὰς ὀκτὼ χάριν τύπου μόνον τῶν εἰκοσιτεσσάρων ἐξεθέμεθα, ὡς χρησίμου ὄντος τοῦ τοιούτου τύπου ἐν ταῖς

---

2 περιφυλάξαιεν Graux, περιφυλάξοιεν P^1V | οὐδὲ μία V | χ̅ῦ P^1V ‖ 5 οὐδὲ μίαν V, item infra vs. 8 ‖ 8 αἱρέσεως P^1, αἱρέσεως V, διαιρέσεως Ebcm ‖ 11 εἴπέρ ἐστιν P^1 ‖ 12 τὸν ἀριθμὸν? | αὐτῷ P^1 ‖ 16 στρατιὰς V ‖ 18 αἱ om. P^1 ‖ 21 ἐπιβοηθεῖν P^1 ‖ 24 ἀνάγκη ἐστὶν P^1V recte dkl ‖ 24 τάξει δεύοντος V ‖ 25 ἔχει V

μάχαις καὶ τῇ ὁδοιπορίᾳ κατὰ τοὺς εὐρυχώρους τόπους πολεμίων ἀπροόπτως συμπιπτόντων. εἰ δὲ ἐλάττων ἡ πληθὺς τῶν ὀκτὼ χιλιάδων καὶ διακοσίων ἀνδρῶν ὑπάρχει, ἐλαττούσθωσαν καὶ αἱ τάξεις, καὶ ἀνὰ πέντε ἔστωσαν καθ' ἕκαστα τὰ μέρη. εἰ δὲ καὶ ἔτι εἰς ἥττονα ἀριθμὸν ἀπαρτίζεται τὸ ἱππικὸν στράτευμα, ἐξ ἀνάγκης ἀνὰ τέσσαρας τάξεις ἕκαστα τὰ μέρη ἐχέτωσαν, πλὴν βασιλέως ἐκστρατεύοντος καὶ ὁ τῶν τεσσάρων παρατάξεων ἀριθμὸς καθ' ἕκαστα τὰ μέρη πάνυ ὀλιγοστός ἐστιν. εἰ δὲ καὶ ἔτι εἰς ἐλάττονα ἀριθμὸν τὸ ἱππικὸν ἀπαρτίζεται στράτευμα, οὐ δεῖ βασιλέα μετὰ τοσούτου ὀλιγοστοῦ πλήθους ἐκστρατεύειν.

IX.

Πῶς δεῖ ποιεῖν τὴν ἐκ τοῦ ἀπλήκτου τοῦ στρατοπέδου παντὸς ἀποκίνησιν.

Τοῦ δὲ στρατοπέδου ἀπᾶραι μέλλοντος τοῦ ἀπλήκτου, μικρόν τι πρὸ τῆς αὐγῆς ἠχείτωσαν αἱ σάλπιγγες, ἵνα πρὸς τὸ ὁδοιπορεῖν ἅπαντες εὐτρεπίζωνται· τοὺς δὲ παρὰ ταῖς δημοσίαις ὁδοῖς ἀπληκεύοντας ἄρχοντας ἔξεστι προστάττειν τισὶ τοῦ ἰδίου λαοῦ ἐπιβάντας τῶν ἵππων παραφυλάττειν τὰς ὁδοὺς τοῦ κωλύειν καὶ μὴ συγχωρεῖν σακμάρια ἢ παριππαράτους πληροῦν τὰς ὁδοὺς ἢ ἐξέρχεσθαι, ἀλλὰ στρέφειν αὐτοὺς πρὸς τὰ ἀπλῆκτα καὶ τὰς ὁδοὺς κενὰς συντηρεῖν πρὸς τὸ ἀκωλύτως διαβαίνειν τὸ μάχιμον. οἱ δὲ ἄρχοντες, ὅ τε τῶν προηγουμένων τῆς στρατιᾶς τάξεων καὶ ὁ [fol. 223ᵛ P¹] πλαγιοφυλάκων ‖ καὶ ὁ τοῦ σάκα ἀπερχέσθωσαν πρὸς τὴν κόρτην, καὶ εὐχὴν καὶ πρόσταξιν λαμβάνοντες παρὰ τοῦ [fol. 243ᵛ V] βασιλέως ἡμῶν τοῦ ἁγίου, πόθεν καὶ ὅπως δεῖ περιπατεῖν | εἰς τὸν ἴδιον λαόν, ἀπερχέσθωσαν· καὶ ὁ μὲν τῆς στρατιᾶς προπορευόμενος, ἡνίκα τό δεύτερον σαλπισθῇ, τὰς τρεῖς ἀνα-

---

5 *ἧττον P¹V, ἥττονα d* ‖ 6 *τέσσαρας] Δ P¹* ‖ 7 *ἐκστρατεύσαντος P¹* ‖ 14 *ἀπάραι* omnes quos vidi codd., *ἀπᾶραι* Graux ‖ *15 αὐλῆς P¹V, αὐγῆς* in mgne cod. c ‖ 20 *τρέφειν V* ‖ 21 *αὐτὰς P¹V, αὐτοὺς* Graux ‖ 22 *διαβαίνει V* ‖ 23 ὅτε P¹V

λαμβανόμενος μεθ᾽ ἑαυτοῦ τάξεις καὶ δουκάτωρας, ἐξίτω τοῦ ἀπλήκτου, καὶ ἄχρι τόξου βολῆς διάστημα ἢ καὶ δύο μακρυνόμενος τοῦ ἀπλήκτου στηκέτω. στελλέτωσαν δὲ καὶ οἱ ἄρχοντες τῶν πλαγιοφυλάκων ἐκ τῶν ὑπ᾽ αὐτοὺς ἔνθεν κἀκεῖθεν ἀνὰ μιᾶς παρατάξεως καὶ τὸ αὐτὸ διάστημα τοῖς προπορευομένοις ποιήσαντες στήτωσαν· τὸ αὐτὸ καὶ ὁ τοῦ σάκα ἄρχων ποιείτω μίαν ὄπισθεν ἀποστέλλων. τοῦτο δὲ λέγομεν οὐ δι᾽ ὑποψίαν ἐφόδου μεγάλου φοσσάτου· τῶν γὰρ μεγάλων φοσσάτων αἱ ἐπελεύσεις τῷ πλήθει ταχὺ διαγινώσκονται, καὶ εἰ μὴ πάντῃ ῥᾴθυμός ἐστιν ὁ στρατηγός, ἀλλ᾽ ἐγρήγορος, τὰς φοσσατικὰς ἐφόδους οὐκ ἀγνοήσει ποτέ, ἀλλ᾽ ἵνα μὴ διὰ τὸ ὀλίγους τινὰς εἰ συμβῇ πρὸς τὸ ἁρπάσαι τι λάθρα παραγενομένους συγκεχυμένῃ τῇ στρατιᾷ καὶ περιεσπασμένῃ τυγχανούσῃ διὰ τὴν κίνησιν ταραχήν τινα καὶ δειλίαν παράσχωσι. κατ᾽ αὐτὴν δὲ τὴν δευτέραν ἠχὴν τῶν σαλπίγγων ⟨κατα⟩τιθέσθω ἡ βασιλικὴ σκηνή, εἶθ᾽ οὕτως καὶ αἱ λοιπαί· οὐ γὰρ πρὸ αὐτῆς ἁρμόζον ἐστὶν ἑτέραν στῆναί ποτε πηγνυμένου τοῦ ἀπλήκτου, οὔτε πάλιν τοῦ πλήθους κινεῖν μέλλοντος πρὸ ταύτης ἑτέραν πεσεῖν. ὁμοίως δὲ κατὰ τὸ δεύτερον σάλπισμα οἱ τοῦ στρατοπέδου ἕκαστος ἐπιφορτιζέτωσαν τοῖς ἀχθοφόροις ζῴοις τὴν ἰδίαν ἀποσκευὴν καὶ στηκέτωσαν εἰς τὰ ἑαυτῶν ἀπλῆκτα, ἀπεκδεχόμενοι τὴν τρίτην ἠχὴν τῆς σάλπιγγος καὶ τὴν τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου σὺν ταῖς ἱππικαῖς τάξεσιν ἀπὸ τοῦ ἀπλήκτου ἔξοδον. ἐπειδ᾽ ἂν δὲ τὸ τρίτον ἠχήσῃ, ἐποχούμενος ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος τῷ ἰδίῳ ἵππῳ ἐξίτω τοῦ ἀπλήκτου μετὰ τῶν ἑπομένων αὐτῷ παρατάξεων.

X.

Περὶ ὁδοιπορίας.

Ἐν δὲ τῇ ὁδοιπορίᾳ αἱ μὲν ἓξ παρατάξεις ἅμα τῇ τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου προπορευέσθωσαν, ἀλλ᾽ οὐ δίχα

4 ὑπαυτοὺς P^1 ‖ 5 κακεῖθεν V ‖ 10 πάντη P^1V | ραθυμος ἐστιν P^1V (ῥᾴθυμος l) ‖ 12 ἀρπάσαι V ‖ 13 τί P^1V | περιγινομένους P^1 ‖ 14 περισπασμένη P^1V, correxi | τινὰ P^1V ‖ 16 κατατιθέσθω Vári, τιθέσθω P^1V | εἶθ᾽ V ‖ 17 στῆναι ποτὲ P^1V ‖ 21 ζώοις P^1V ‖ 25 ἐπειδὰν V

τάξεως· τούτων γὰρ ἡ μὲν μία ἐξ ἱκανοῦ διαστήματος ἔμπροσθεν ὁδευέτω πρὸς τὸ βλέπειν καὶ κατασκοπεῖν καὶ ὡς ἂν τὰ τῶν πολεμίων στοχάσηται καὶ ἐφεύροι μηνύειν τῷ ἁγίῳ [fol. 224^r P^1] ἡμῶν βασιλεῖ· ‖ τῶν δὲ ὑπολιμπανομένων πέντε αἱ μὲν τρεῖς προπορευέσθωσαν, αἱ δὲ δύο ἔνθεν κἀκεῖθεν τῆς τοῦ [fol. 244^r V] βασιλέως ἡμῶν τοῦ ἁγίου παρατάξεως κατό|πιν τῶν ἔμπροσθεν τεταγμέναι τὴν ὁδὸν ἀνυέτωσαν· ἀφ' οὗ δὲ τῆς ὁδοῦ αἱ προηγούμεναι ἱππικαὶ τάξεις ἀπάρξονται, παραύτικα καὶ τὸ μέτωπον τῶν πεζῶν, τὸ κατ' εὐθεῖαν τῆς ὁδοῦ κείμενον, κατὰ νῶτον αὐταῖς ἑπέσθω· αἱ δὲ πλάγιοι πεζικαὶ καὶ τὸ ὄπισθεν τῆς συντάξεως μέρος, εἰ ὁ τόπος ὁμαλός ἐστι καὶ εὐρύχωρος, κατὰ τὴν τοῦ ἀπλήκτου θέσιν καὶ τὸ σχῆμα ὁδοιπορείτωσαν, περιέχουσαι μέσον τὸ ὑπουργικὸν ἅπαν σὺν τοῖς ἀχθοφόροις ζῴοις. ἡ δὲ βασιλικὴ ἀποσκευὴ παντὸς προπορευέσθω τοῦ ὑπουργικοῦ καὶ σημεῖον ἐχέτω χάριν γνωρίσματος· καθεξῆς δὲ ταύτῃ τὸ λοιπὸν ἐπακολουθείτω τῶν σκευοφόρων· αἱ δὲ τῶν πλαγιοφυλάκων παρατάξεις ἔσωθεν μὲν πρὸς τὰς πλευρὰς τῶν πεζικῶν τάξεων ἀνὰ τρεῖς ἑπόμεναι ἑτέρα θατέρᾳ βαδιζέτωσαν. ἔξωθεν δὲ τούτων ὁμοίως κατὰ πλευρὰν ἕτεραι τῷ ὁμοίῳ σχήματι ἀνὰ τρεῖς πορευέσθωσαν· αὗται δὲ αἱ ἐξώτεραι καὶ πλαγιοφύλακες ἓξ παρατάξεις τῶν δύο μερῶν ἀνὰ τριάκοντα ἄνδρας ἑκάστη ἀπὸ τοῦ ἰδίου λαοῦ ἀφοριζέτω καὶ μήκοθεν τούτους ἐν τοῖς πλαγίοις στελλέτω, ἵνα τὰ τῶν πολεμίων πάντα διασκέπτωνται ἐν τοῖς αὐτῶν μέρεσι καὶ τοῖς μεγάλοις αὐτῶν ἄρχουσι πάντα διδάσκωσιν. ὁ δὲ ἄρχων τῶν ἑτέρων ἓξ τῶν ὀπισθίων, τῶν καὶ σάκα καλουμένων, ἄνδρας καὶ αὐτὸς ἀφορίσας ἑκατὸν μεθ' ἡγεμόνος τινὸς ἐμπείρου, ἐάτω ἀπὸ διαστήματος περιπατεῖν ἐκ τῶν ὄπισθεν, ἵνα καὶ αὐτοὶ κατασκοπῶσι τοῦ μὴ κατὰ νῶτον τούτοις ἀδοκήτως ἐπελ-

---

5 κακεῖθεν *V*, κακεῖθειν P^1 ‖ 7 τεταγμέναι Vári, τεταγμένοι P^1V ‖ 8 In V post ἀπάρξονται interpungitur ‖ 9 κατευθείαν *V* ‖ 10 αὐταῖς Vári, αὐτῆς P^1V ‖ 13 περιέχουσα *V* ‖ 14 ζώοις P^1V ‖ 16 ἐπακολουθήτω P^1 ‖ 19 ἑτέρα θατέρᾳ Vári, cf. p. 25, vs. 20; θατέραι (θατέρα P^1) τῇ ἑτέρᾳ P^1V ‖ 20 ἑτέραι. *V* ‖ 21 προπορευέσθωσαν P^1 ‖ 22 μέρῶν P^1 ‖ 25 διασκέπτωνται Graux, διασκέπωνται P^1V ‖ 26 ἄρχων P^1, αἴχων V

θεῖν τοὺς πολεμίους. προσήκει δὲ διά τε τοὺς Ἄραβας καὶ τοὺς Τούρκους τοὺς θρασύτερον ἐφορμῶντας ταῖς παρατάξεσι πρὸς ἀποτροπὴν αὐτῶν εἰς ἑκάστην τῶν ἐξωτέρω οὐσῶν δώδεκα παρατάξεων ἀνὰ ἑκατὸν πεντήκοντα τοξότας ἄνδρας πεζοὺς ἀπὸ τῶν ταξιαρχιῶν τῶν μονομερῶς ἐχουσῶν τοὺς τοξότας ἀφορίσαντα διανεῖμαι τοῦ σὺν αὐταῖς ὁδοιπορεῖν.

Ὁ δὲ βασιλεὺς ἐχέτω μεθ' ἑαυτοῦ τοξότας ὅσους ἂν βούληται· ἐχέτω δὲ καὶ Ῥῶς καὶ μαλαρτίους. εἰ δέ που κατὰ πάροδον ἐντύχοι χωρίοις τὸ στράτευμα, ἐάτωσαν τοὺς ὑπουργοὺς πρὸς πορισμὸν ἀπιέναι χρειῶν· ‖ εἰ δὲ μικρόν [fol. 224ᵛ *P*¹] *τι παρεξέλθωσι διὰ τὸ ἐκ πλαγίου καὶ ἐκτὸς τῆς ὁδοῦ συγκεῖσθαι χωρία, αἱ τῶν πλαγιοφυλάκων ἐξώτεραι τάξεις ἀπίτωσαν πρὸς φυλακὴν αὐτῶν, τῶν σαλπίγγων τὸ ἀνα|-* [fol. 244ᵛ *V*] *κλητικὸν ἠχουσῶν καὶ τὴν στρατιὰν εἰργουσῶν τοῦ μὴ ὁδοιπορεῖν, ἀλλὰ προσμένειν τὴν τῶν ὑπουργῶν ἄφιξιν· μετὰ δὲ τὴν ἐκείνων ἄθροισιν ἐχέσθω τῆς ὁδοιπορίας. εἰ δὲ στενωπὸς ἀπαντήσοι τόπος, ἢ μακρότερόν ἐστι τὸ ἀπλῆκτον εἴτε διὰ χώρας ἀνεπιτηδειότητα ἢ δι' ὑδάτων ἔνδειαν, καὶ τὸ μῆκος τοῦ ἀπλήκτου ὀξυτέραν ποιοῦντα τὴν ὁδοιπορίαν ἀναγκάσει λεπτυνθῆναι τὸν ἀπόλεμον λαὸν καὶ διαλυθῆναι τὰς πεζικὰς τάξεις, ἅτε εἰς μῆκος ἐπεκτεινομένων τῶν πεζῶν καὶ τῶν σκευοφόρων, δεῖ τότε ὡς μὴ ἐξικανούσας τὰς ἀνὰ τρεῖς πλαγίους πρὸς παραφυλακὴν αὐτῶν δίκην ὁρμαθοῦ πάσας γενέσθαι καὶ ἀνὰ ἓξ ἐν ἑκατέροις τοῖς μέρεσιν εἰς μῆκος γενομένας κατὰ νῶτον ἐφέπεσθαι τὰς τάξεις ἀλλήλαις. εἰ δὲ καὶ μᾶλλον ἐπεκτείνονται καὶ ἀσφαλῶς παρὰ τῶν ἀνὰ ἓξ ἐφ' ἑκατέρων τῶν μερῶν οὐ φυλάττονται, δέον καὶ ἀπὸ τῶν προπορευομένων δύο τάξεις ἔνθεν κἀκεῖθεν εἰσελθεῖν κατὰ στοῖχον, καὶ ἀπὸ τῶν τοῦ σάκα ὁμοίως ἑτέρας δύο ὡς γενέσθαι τὰς πλαγίους ἀνὰ ὀκτὼ στοιχηδὸν πορευομένας, εἴτουν κατ' ὄρδινον καὶ διισταμένας ἀλλήλων ὡσεὶ τόξου*

---

5 *ταξιαρχῶν V* ‖ 9 *καταπάροδον V* ‖ 13 *ἀνὰ κλητικὸν V* ‖ 17 *μακρότερον ἐστὶ P*¹*V* ‖ 17 *διαχώραν P*¹*V*, *διὰ χῶρας* (!) *p*, *διὰ χωρῶν* scripsit Graux ‖ 19 *ποιοῦντα* Vári, *ποιοῦν P*¹*V* ‖ 23 *ὁρμαθοῦ V* ‖ 25 *κατανῶτον* V ‖ 28 *κακεῖθεν* V \ *κατα-στοῖχον V* ‖ 30 *εἴτ' οὖν P*¹*V*, εἴτουν d

βολὴν ἢ καὶ δύο πρὸς τὴν κατεπείγουσαν χρείαν. εἰ δὲ καὶ πλέον παρεκτείνοιτο ὁ λαός, μικρὸν ἀναμενέτω ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος φθάσαι τοὺς ὄπισθεν, ἵνα μὴ τῷ τῆς ὁδοιπορίας ὀξεῖ καὶ συντόνῳ ἐκλύωνται, ἄλλως τε δὲ μὴ καὶ ἀφυλάκτοις τούτοις οὖσι περιτυχόντες ἴσως οἱ Ἄραβες ἢ καὶ οἱ Τοῦρκοι καταβλάψωσι. μετὰ δὲ ⟨τὸ⟩ εἰς τὸ ἀπλῆκτον ἀφικέσθαι μὴ παρ' εὐθὺ αἱ τάξεις καταλύωνται, ἀλλὰ μικρὸν παρεκβαίνουσαι κυκλόθεν ἱστάσθωσαν τοῦ ἀπλήκτου, ἵνα τὸ ὑπουργικὸν ἅπαν καταλαβοῦσαι πήξωνται τὰς σκηνάς· ἀφ' οὗ δὲ τὸ ἀπλῆκτον καταστῇ, αἱ μὲν λοιπαὶ τάξεις εἰσίτωσαν, ἀνὰ δύο δὲ ἐξ ἑκατέρων τῶν πλαγίων καὶ μία τῶν ἔμπροσθεν ἔξωθεν ἱστάσθωσαν· ἀλλὰ καὶ αὐτὸς ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος μετὰ τῆς οἰκείας, εἰ μὴ δουλεία τις ἑτέρα πρόκειται ἀναγκαία, ἐν ἐπιτηδείῳ τόπῳ ἱστάμενος πάντα κατασκοπείτω καὶ προσμενέτω τὸ σάκα, μετὰ δὲ τὴν τοῦ σάκα ἄφιξιν εἰσερχέσθωσαν ἅπαντες.

XI.

Περὶ τοῦ πῶς δεῖ ποιεῖν, ὅτε γνωσθῶσι πολέμιοι ἐν νυκτὶ βούλεσθαι ἐπελθεῖν τῷ χάρακι.

[fol. 225r P^1] Εἰ δέ γε τοὺς πολεμίους νύκτωρ ὁ βασιλεὺς ἡμῶν ὁ [fol. 245r V] ἅγιος ⟨βούλεσθαι⟩ ἐπελθεῖν | διαγνῷ, λόχους εὐτρεπισάτω μὴ πάνυ μακρὰν τοῦ ἀπλήκτου, ἵν' ὅτ' ἂν αὐτοὶ συμβάλλωσι τοῖς τοῦ χάρακος ἢ ἐκ πλαγίου ἢ ἐκ τῶν ὄπισθεν ἐπελθόντες, ἐκεῖνοι τὴν ἐπιβουλὴν εἰς τὴν αὐτῶν ἐκείνων περιτρέψωσι κεφαλήν. μετὰ δὲ τὸ τοὺς ἐχθροὺς τρέψασθαι τῇ κατ' αὐτῶν διώξει μὴ χρήσθωσαν· ἀνωφελὲς γὰρ ἐν νυκτὶ τοῦτο. δεῖ δὲ καὶ συνθήματα καὶ γνωρίσματα ἔχειν τοὺς

---

6 *τούρκοι* P^1V | Prius *τὸ* inseruit Graux ‖ 7 *ἀφίκεσθαι* P^1V, correxit Graux | *παρευθὺ* P^1V, *παρ' εὐθὺ* k | *καταλύονται* P^1V, correxit Graux ‖ 9 *καταλαβοῦσαι* Vári, *καταλαβὼν* P^1, *καταλαβὸν* V ‖ 14 *τίς* V | *πρόκειτε* P^1 ‖ 20 *βούλεσθαι* ego *inserui* / *ἐπελθῆν* P^1 | *μηπάνυ* P^1V ‖ 21 *οὗτοι συμβαλῶσι* *suspicatus est* Graux ‖ 22 ἢ πλαγίου ἢ V, ἐκ πλαγίου ἢ P^1 et R

στρατιώτας, ὅπως ⟨μὴ μόνον⟩ σκότους γινομένων πολέμων, ἀλλὰ καὶ ἐν ἡμέρᾳ ὁμίχλης ἢ κονιορτῶν ἐπεγειρομένων ἐκ τῶν εἰθισμένων παρασήμων ἕκαστος τὸν ἄλλον ἐπιγινώσκοντες εὐδιάκριτοι ἀπὸ τῶν συμπλεκομένων δυσμενῶν ὑπάρχωσι.

XII.

Περὶ τοῦ πῶς δεῖ ποιεῖν, εἴπερ ὁδοιπορούσης τῆς στρατιᾶς πολέμιοι μετὰ βαρείας δυνάμεως ταύτῃ ἐπέλθωσι.

Τῆς δὲ στρατιᾶς ὁδοιπορούσης ἐὰν πολεμίων ἔφοδος δηλωθῇ τῷ ἁγίῳ ἡμῶν βασιλεῖ μετὰ ⟨βαρείας⟩ δυνάμεως ἐπιοῦσα, οὐ καλόν ἐστι συμβάλλειν τούτοις ἁπτόμενον τῆς ὁδοῦ, ἀλλὰ πρότερον μὲν προστάξαι καταθέσθαι τὸν φόρτον τοῖς ὑπουργοῖς, εἶτα τὴν βασιλικὴν σκηνήν, καί τινας τῶν ἀρχόντων μεγάλων ἀνεγεῖραι, καὶ τότε δεόντως καθοπλισθεῖσαν καὶ συνταχθεῖσαν τὴν στρατιὰν ἐξάγειν ἐπὶ τὸν πόλεμον, καὶ τοῦ Θεοῦ διδόντος τοὺς ἐχθροὺς τρέψασθαι. Εἴπερ ἐν ᾧ ἔστησαν τόπῳ ὕδωρ οὐκ ἔστι, μετὰ τὴν τῶν ἐχθρῶν δίωξιν ὁ τοῦ ὑπουργικοῦ κατάρχειν λειφθεὶς ἡμῶν ἡγεμὼν δηλωθεὶς ἀπίτω πρὸς τὸ δηλωθὲν ἀπλῆκτον.

XIII.

Περὶ τοῦ ὅτι ἀσύμφορόν ἐστιν ἐν ἀνύδροις τόποις ὁδοιπορεῖν πολεμίων ἐπιόντων.

Καὶ τοῦτο πρὸς τοῖς ἄλλοις εἰδέναι δεῖ, ὅτι πολεμίων προσδοκωμένων ἀσύμφορόν ἐστιν ἐν ἀνύδροις τόποις εἰσαγα-

---

1 *μὴ μόνον* ego inserui ‖ 3 *τῶν ἄλλον* *V*, *τῶν ἄλλων* P^1 et *R* (in mg. cod. *k* nil legitur, quod huc esset referendum) ‖ 5 *ὑπάρχωσι* coniecit Graux, *ὑπάρχουσι* P^1V ‖ 8 *ἐπέλθως* P^1 ‖ 10 *βαρείας* supplevit Graux ‖ 12 *πρόσταξαι* P^1V, *προστάξαι* *R* excepto *b*, qui *προστάξει* exhibet ‖ 13 *τινας τῶν* Vári, *τινων* P^1V ‖ 18 *ληφθεὶς* P^1 | *ἡμῶν* deest in P^1, *ἡγεμὼν* cum in *V* tum in *R* ‖ 19 *πρὸς τὸν* *V* | *δηλοθὲν* P^1 ‖ 20 ἀσύμφορον ἐστὶν P^1V, item infra vs. 23

γεῖν τὸ στράτευμα, καὶ μάλιστα θέρους ὥρᾳ· χειμῶνος μὲν γὰρ πολλάκις ἡμέραν ὁλόκληρον ἄνευ ὕδατος καρτερήσουσιν, ἐν δὲ τῷ θερινῷ καιρῷ οὐδὲ μέχρις ἀρίστου, ἀλλὰ συναπολοῦνται τοῖς ἵπποις καὶ οἱ ἄνθρωποι. δεινὸν οὖν ἐστι δυσὶ πολέμοις ἑαυτὸν ἐκδοῦναι ⟨τὸν⟩ τῶν ἐχθρῶν λέγω καὶ τὸν τοῦ καύσωνος ὑδάτων ἐπιλειπόντων. ἀλλ' εἰ δεήσει, καὶ κόπον τριῶν ἢ καὶ τεσσάρων ἡμερῶν προκρινάτω τῆς συντετμημένης ἐκείνης καὶ ἀνύδρου ὁδοῦ· κρεῖττον γὰρ κόπον αἱρετισάμενον δι' ἐκείνης τῆς μακρᾶς καὶ ἀκινδύνου ἀσφαλῶς ὁδεῦσαι ἢ προκρίναντα τὴν σύντομον κινδύνῳ περιπεσεῖν.

XIV.

[fol. 245^{v} *V*, 225^{v} P^1] *Περὶ τοῦ εἰ ἀπαντήσει στένωμα ἢ γεφύρας καὶ ποταμοῦ βαθέος περαίωσις, τί δεῖ ποιεῖν.*

Τῆς οὖν στρατιᾶς ἐν τῇ πολεμίᾳ οὔσης ὡς λέλεκται, εἰ παρὰ τῶν δουκατώρων ὁ βασιλεὺς μάθοι τῇ ἐπιούσῃ στενῷ μέλλειν ἀπαντᾶν τόπῳ ἢ γεφύρᾳ ἢ ποταμῷ βαθὺν πόρον ἔχοντι, ἐν μὲν τῷ στενῷ τάξεις πεζικὰς προαποστελλέτω τούτου ἀσφαλῶς κρατῆσαι· εἰ δὲ βούλοιτο μὴ τελείαν παθεῖν τὰς τάξεις σύγχυσιν ἀναμιγείσας ἀλλήλαις ἐν τῇ δυσχωρίᾳ, χρὴ προστάξαι ἀπὸ ἑσπέρας πῶς δεῖ κατὰ τάξιν διελθεῖν αὐτάς. καὶ πρότερον μὲν ἀφοριζέτω ταξιαρχίαν καὶ κελευσάτω αὐτῇ ὁδεῦσαι ἔμπροσθεν μετὰ τῆς προπορευομένης ἐξ ἔθους ἱππικῆς πασῶν τῶν λοιπῶν τάξεων καὶ καθεξῆς τυ-

---

3 *συνάπολοῦνται V* ‖ 4 *οὖν ἐστὶ* P^1*V*, *οὖν ἐστι d* ‖ 5 *τὸν* ego inserui, *τῷ* voluit Graux | Pro sec. *τὸν libri τὸ*, Graux *τῷ* ‖ 9 *αἱρετισάμενον* Graux, *αἱρετησάμενον* P^1*V* ‖ 12 In codice *V* ex inscriptione haec tantum verba possunt legi: . . . . *γεφύρας καὶ ποταμοῦ βαθέος πε* . . . . . . ; cetera evanuerunt | Pro *γεφύρας καὶ* Graux voluit *γέφυρα ἢ* ‖ 15 *δουκατόρων V* | In *V* verborum *μάθοι τῇ* syllaba *θοι* et littera *τ* evanuerunt ‖ 16 *ποταμὸν V* ‖ 17 *τούτου* Vári, *τούτων libri*, *τοῦτον* suspicatus est Graux ‖ 19 *ἀναμιγείσαις* P^1*V*, *ἀναμιγείσας* manus quaedam *recentissima in k* (ex *ἀναμιγήσας*), idem *l* ‖ 22 *ἐξέθους* P^1 ‖ 23 *καθέξῆς V*

πωσάτω ἀλλήλαις ἑπομένας τὰς τάξεις ἐν καταστάσει τὴν στενοχωρίαν διέρχεσθαι· εἶτα καὶ ἄρχοντα τῶν ἐνδόξων προσταξάτω ἔμπροσθεν γενέσθαι καὶ καταλαβεῖν τὴν προπορευομένην πασῶν τῶν τάξεων ἱππικὴν καὶ στῆναι, εἰ μὲν γέφυρα τύχοι, ἐν τῇ ἀρχῇ αὐτῆς, εἰ δὲ πόρος, ἐν τῷ χείλει τοῦ ποταμοῦ, ὅπως παρασκευάσῃ ἀκινδύνως καὶ μετὰ τάξεως διέρχεσθαι τὸν λαόν· κἀκεῖσε προσμενέτω εἴτε ἐκεῖνος ἢ ἀντ' αὐτοῦ ἕτερος, ἕως ἂν ἅπας ὁ λαὸς περαιωθῇ. τῶν δὲ πλαγιοφυλάκων αἱ μὲν δεξιαὶ ἱππικαὶ τάξεις κατόπιν γενέσθωσαν τοῦ βασιλέως καὶ μετ' αὐτὸν διελθάτωσαν· ἡ δὲ τοῦ αὐτοῦ μέρους πεζικὴ τάξις μετὰ τὸ διελθεῖν τὸ τῆς φάλαγγος μέτωπον καὶ αὐτὴ κατὰ νῶτον ἑπομένη τούτῳ πορευέσθω. μετὰ δὲ ταύτην τὸ τῶν σκευοφόρων πλῆθος εἶθ' οὕτως τὸ ὄπισθεν τῆς συντάξεως μέρος, καὶ μετ' αὐτὸ τὸ ἀριστερὸν τῶν πεζῶν πλάγιον, ἀφ' οὗ δὲ τὰ δύο ταῦτα μέρη περαιωθῶσι τῆς συντάξεως. διαβήτωσαν αἱ πλαγιοφύλακες ἀριστεραὶ τῶν ἱππέων τάξεις ἔσχαται, ⟨ἐσχάτη⟩ δὲ πάντων, ὥσπερ καὶ ἔμπροσθεν, ταξιαρχία μία πεζῶν ἐπακολουθείτω. καὶ οὕτως ἐν τάξει τὰς στενοχωρίας διελθέτωσαν, καὶ μὴ ἐνούσθωσαν αἱ τάξεις ἑτέρα τῇ ἑτέρᾳ συμμιγνύμεναι πρὸς τὸ σύγχυσίν τινα ὑποστῆναι, μήτε μὴν τῷ ὑπουργικῷ καὶ τοῖς ἀχθοφόροις ἀναμιγνύσθωσαν, ἀφ' οὗ δὲ τὸν στενωπὸν ἢ ποταμὸν ἢ ὅπερ ἂν τύχῃ δύσκολον εἶναι διέλθωσι ⟨καὶ⟩ τῶν ἰδίων ἕκαστος ἐπιλαμβανόμενοι τόπων κατὰ τάξιν ὁδοιπορείτωσαν.

---

7 κακεῖσε P^1V ‖ 8 ἀνταυτοῦ P^1 ‖ 14 εἰθ' V ‖ 17 *Libri* τῶν ἱππέων τάξεις, ἔσχαται δὲ πάντων exhibent, ubi ἔσχαται in ἐσχάτη correxit Dulac apud C. Graux; ego ἔσχαται retinui, ἐσχάτη inserui ‖ 18 ἐπακολουθήτω P^1V, ἐπακολουθείτω *l*, fortasse et alii ‖ 19 διελθέτωσαν omnes, quos inspexi, codices ‖ 20 ἐνούσθησαν V ‖ 21 σύγχυσιν τινὰ P^1V ‖ 22 ἀφοῦ V ‖ 24 Post διέλθωσι inserendum censui καὶ ‖ 25 κατὰ τάξην P^1 | Verbo ὁδοιπορείτωσαν desinit fol. 245ᵛ codicis V; fol. 246ʳ incipit verbis καὶ ἡμιόνων χρεμετισμοὺς κ. τ. λ., quae ad Nic. Phoc. opus de velit. bell. [ed. Bonn. p. 199] pertinent

XV.

[fol. 226r P¹] *Περὶ τοῦ μὴ ἐπάγεσθαι πλῆθος ἀργὸν ἐν τῇ πολεμίᾳ.*

Σφαλερὸν δὲ καὶ ἐπιβλαβές, καθὰ καὶ τοῖς παλαιοῖς δοκεῖ καὶ ἡμῖν ἡ πεῖρα παρέστησε, τὸ ἀργὸν καὶ ἀπόλεμον ἐπιφέρεσθαι πλῆθος ἐν πολεμίᾳ, καὶ φόρτον παρὰ τὴν ἀναγκαίαν χρείαν καὶ ὄχλον ἡμιόνων καὶ ὄνων καὶ καμήλων ἔχειν, καὶ μάλιστα ἐν τῇ τῶν Βουλγάρων χώρᾳ, ἐν ᾗ καὶ κλεισοῦραι ὑλώδεις καὶ δύσβατοι καὶ ὁδοὶ στενότητα πολλὴν ἔχουσαι, ἃς εἰ μέλλει διοδεύειν ἡ στρατιά, ἀργίαν ἐκ τοῦ τοιούτου ὑφίσταται τρόπου· τὴν γὰρ ὁδὸν τῆς μιᾶς ἡμέρας, ὁπότ' ἂν τὸ ἀργὸν ἐπιφέρηται πλῆθος καὶ τὸν παράλογον καὶ τρυφηλὸν φόρτον τήν τε ἀνόνητον καὶ πολυτελῆ ἀποσκευήν, οὐδ' ἂν εἰς τέσσαρας ἐξανύσειεν, ἀλλὰ καὶ ἐν τῷ ποταμῶν τοὺς βαθεῖς καὶ τελματώδεις περαιοῦσθαι ἢ γεφύρας διαβαίνειν ἀργίαν οὐκ ὀλίγην ἐκ τοῦ ἀργοῦ πάσχοι πλήθους. καὶ μέντοι καὶ τὰς τροφάς, ἃς ἐχρῆν καταναλίσκειν τὸ μάχιμον μετὰ τοῦ συμμέτρου καὶ χρειώδους ὑπουργικοῦ, τὸ ἀργὸν πλῆθος καταδαπανῶν ἔνδειαν ταχινὴν ποιεῖ τῷ στρατῷ καὶ ἄπρακτον ὑποστρέφειν καταναγκάζει· καὶ ὅπερ πολλάκις οὐδὲ βαρεῖα ἐχθρῶν δύναμις κατορθῶσαι ἴσχυσεν ἄν, μόνη ἡ ἐξ ἀβουλίας ἔνδεια κατεργάζεται. οἱ αὐτοὶ δὲ καὶ τὸν κόπον ἀκηδιῶντες καὶ τοὺς πολεμίους δεδιότες φήμας καὶ ῥήματα ἐξάγουσι βλαβερὰ σπεύδοντες καὶ πάντα μηχανώμενοι κατὰ τὸ ἐγχωροῦν αὐτοῖς τὰς ἐπὶ συμφέροντι τοῦ βασιλέως ἀνατρέψαι βουλὰς καὶ σύντομον γενέσθαι τὴν ὑποστροφήν.

---

3 Cf. Polyb. Hist. III. 81, Onas. 43, Leon. Tact. VII. 8; XI. 4 ‖ 4 πεῖρα *Enabm*, ut videtur, πείρα P¹ ‖ 6 ὄχλων *P*¹, ὄχλον *dbm* | καὶ ὄνων deest in *P*¹ ‖ 8 κλεισούραι *P*¹ ‖ 13 ἀλλὰ καὶ ἐν τῷ π. τ. β. κ. τελμ. περ. ἢ γεφύρας διαβαίνειν ego scripsi; *P*¹*R*: ἀλλὰ καὶ ποταμῶν τοὺς βαθεῖς καὶ τελμ. ἐν τῷ περαιοῦσθαι, nisi quod βαθεῖς omm. *bn*, παιραιοῦσθαι exhibet *a* ‖ 15 πάσχοι *Vári*, πάσχει *P*¹*R* (excepto *v*, qui πάσχειν tradit) ‖ 21 ἐξαβουλίας *P*¹

XVI.

Περὶ τῆς ἁρμοζούσης πανοπλίας.

Οὐ καλὸν δὲ οὐδὲ συμφέρον ἀποσιωπῆσαι καὶ περὶ τῆς πολυτελείας, μᾶλλον δὲ ἀχρηστίας τῶν τεθρυμμένων πανοπλιῶν, καὶ τοῦ ἀργοῦ χρυσοῦ καὶ ἀργύρου τοῦ πρὸς κόσμον καταβαλλομένου τῶν ἵππων καὶ τῶν ἀνωφελῶν ἀργυρῶν σκευῶν τῶν διὰ περπερείαν παρ' ἐνίων ἐν τῇ πολεμίᾳ βασταζομένων· ἀλλὰ δεῖ καὶ περὶ τούτου τὰ προσήκοντα ὑπομνῆσαι. ἐκείνων μόνων ἐστὶ χρεία τῶν ἐπιτηδείων πρὸς πόλεμον καὶ χρησίμων, ἵππων ἀρίστων, θωράκων ὀχυρῶν καὶ περικεφαλαιῶν φασγάνων τε καλλίστων, ἐν οἷς ὁ σίδηρος μόνος τῶν ἄλλων ὑλῶν πλεονεκτεῖ. ἡ δὲ ἀνόνητος πλησμονὴ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου πρὸς τῷ ζημιοῦν καὶ πενίαν προξενεῖν τῷ στρατεύματι πάντῃ τὸ περιττὸν καὶ ἀνωφελὲς ‖ ἐν τοῖς τῶν πολέμων καιροῖς ἔχουσα, καὶ [fol. 226v P^1] *εὕροις ἂν φιλοπόνως τὰς ἱστορικὰς βίβλους ἀνερευνώμενος τοὺς ⟨ἀν⟩εγείραντας ἐν τοῖς πολέμοις μεγάλα τρόπαια Ἕλληνας καὶ Ῥωμαίους πᾶσαν λιτότητα εἴς τε τὰς διαίτας καὶ τὰ σκεύη καὶ τὰ ὅπλα αὐτῶν ἔχοντας.*

XVII.

Περὶ τοῦ μὴ ἔχειν τοὺς εὐτελεστέρους τῶν ἀρχόντων σκηνάς.

Τὸ δὲ καὶ σκηνὰς ἐν πολεμίᾳ τοὺς τῶν ἀρχόντων εὐτελεστέρους ἐπιφέρεσθαι, καὶ μάλιστα ἐν τῇ τῶν Βουλγάρων χώρᾳ, οὐδαμοῦ τὸ εὔχρηστον καὶ ἐπιτήδειον ἔχει, εἰ μὴ εἰς τὸ τοῖς μέλλουσι κατασκοπεῖν τὴν στρατιὰν φαντασίαν διδό-

---

8 *ἐκείνων οὖν μόνων* vult Graux ‖ 12 *τῷ* Graux, *τὸ* P^1R ‖ 13 *πάντη* P^1 ‖ 14 *πολέμων* Graux, *πολεμίων* P^1R | *ἔχουσα* Vári, *ἔχουσι* P^1R ‖ 16 *ἀνεγείραντας* Vári, cf. De velit. bellica (ed. Bonn.) p. 218: *καὶ τρόπαιον μνήμης ἄξιον ἀνεγερεῖς*, — *ἐγείραντας* P^1R (ἐγείροντα nbp) ‖ 18 ἔχοντες P^1R, *emendavit* Graux

ναι μόνον πληθὺν οὐκ ὀλίγην εἶναι λαοῦ. κατὰ δὲ τὴν χώραν ὥς εἴρηται δυσπάροδον τὸ καὶ σιτίων φέρειν ὀλιγότητα εἰς τοὺς εὐτελεστέρους τῶν στρατιωτῶν βλάβην οὐκ ὀλίγην φέρει· ἀνθ' ὧν γὰρ ὀφείλουσιν ἐπικομίζεσθαι χρείας καὶ τὴν σκέπην αὐτῶν ἀπὸ καλυβῶν ἔχειν λυγίνων ἔν τε ἔαρι καὶ καύσωνι ταύτας μάταιον ἔχοντες φόρτον τῶν ἀναγκαίων ἐλλιπεῖς, ὅτε χρεία καλεῖ, καθίστανται.

XVIII.

Περὶ δουκατώρων καὶ κατασκόπων.

Ἐπειδὴ δέ τινος τῶν συντεινόντων πρὸς κοινὴν τῷ στρατῷ λυσιτέλειαν οὐ καλὸν ἀμελεῖν, δέον καὶ δουκάτωρας ἐμπείρους καὶ συνετοὺς ἔχειν, καὶ τούτους εὐεργετεῖν παντοίως τε προνοεῖσθαι καὶ ἀντιλαμβάνεσθαι· δίχα γὰρ αὐτῶν οὐδέν τι τῶν ἀγαθῶν κατορθοῦται. τοιούτους δέ φαμεν δουκάτωρας οὐχὶ τοὺς ἁπλῶς τὰς ὁδοὺς ἐπισταμένους (τοῦτο γὰρ καὶ τῶν εὐτελῶν τις καὶ ⟨τῶν⟩ ἀγρωτῶν δύναται ποιεῖν), ἀλλὰ τοὺς δυναμένους πρὸς τῷ τὰς ὁδοὺς ἐπίστασθαι ⟨καὶ⟩ καλῶς κυβερνῆσαι τὸ στρατόπεδον εἰς τὴν τῶν κλεισουρῶν διέλευσιν, προνοεῖσθαί τε καὶ εἰδέναι τὰ σύμμετρα τῶν ἀπλήκτων διαστήματα καὶ χώρων τοὺς ἐπιτηδείους καὶ ὑδάτων ἀφθονίαν ἔχοντας πρὸς τὸ ἀστενοχώρητον τὸ ἄπληκτον γίνεσθαι, ἔχειν τε ἀκριβῆ γνῶσιν καὶ τῆς θέσεως τῆς πολεμίας χώρας, ἵνα τὴν στρατιὰν ἐν αὐτῇ εἰσάγοντες ληΐσηται τὴν χώραν καὶ ἐξανδραποδίσηται. ἔστωσαν δὲ καὶ χω-

---

1/2 κατὰ δὲ τὸ (*R* omm. τὸ) τὴν χώραν, ὡς εἴρηται, δυσπάροδον εἶναι P^1R; emendavi; Graux lacunam statuit inter δυσπάροδον et εἶναι ‖ 6 ἀέρι P^1R; correxi ‖ 9 δὲ τινὸς P^1 ‖ 11 παντοίως τὲ P^1 ‖ 13 δὲ φαμὲν P^1 ‖ 15 τὶς P^1 | τῶν omm. P^1R, inseruit Graux | ἀγρωτῶν *R*, ἀργωτῶν P^1 (ἐγρωτῶν *p*); ἀγροτῶν Graux^1; malim ἀργούντων legere ‖ 16 τῷ Graux, τὸ P^1R | καὶ omm. P^1R, inseruit Graux ‖ 17 Post κυβερνῆσαι libri addunt καὶ, quod Graux eiecit ‖ 21 ἔχειν τὲ P^1 | Verba *inde ab* ἔχειν τε usque ad ἐξανδραποδίσηται uncis seclusit *Graux*^{1} / ἀκριβεῖ P^1

σάριοι πλεῖστοι καὶ ἐπιτήδειοι παρὰ τῷ τῆς ἀνατολῆς λαῷ καλούμενοι τραπεζῖται, καὶ συνεχῶς ἄλλοι ἀλλαχόθι τῆς χώρας εἰσίτωσαν πρὸς τὸ αἰχμαλωτίζειν ἀνθρώπους, ἵνα δι' αὐτῶν ἀκριβῶς αἱ τῶν πολεμίων ἀναδιδάσκωνται βουλαί, εἴτε ἐπισυνάγονται ἢ συμμάχους δέχονται, καὶ συντόμως εἰπεῖν, ἵνα τῶν παρ' αὐτοῖς μελετω||μένων λανθάνῃ [fol. 227r P^1] *μηδέν. οἱ δὲ ἀληθεῖς τῶν κατασκόπων καὶ αὐτοὶ χρησιμώτατοι· εἰσιόντες γὰρ εἰς τὴν πολεμίαν, δύνανται τὰ τῶν ἐχθρῶν ἀκριβῶς μανθάνειν καὶ τοῖς ἀποστέλλουσι δηλοποιεῖν. οὐ μόνον δὲ εἰς τοὺς Βουλγάρους ἔξεστι τῷ δομεστίκῳ καὶ τοῖς ἀκρίταις στρατηγοῖς κατασκόπους ἔχειν, ἀλλὰ καὶ εἰς τὰ λοιπὰ γειτονοῦντα ἔθνη, εἴτουν εἰς Πατζινακίαν καὶ εἰς Τουρκίαν καὶ Ῥωσίαν, ἵνα μηδὲν τῶν ἐκείνων βουλευμάτων ἄγνωστον ἡμῖν ᾖ. οἱ δὲ σὺν γυναιξὶ καὶ παισὶν ἁλισκόμενοι αἰχμάλωτοι ἐνίοτε καὶ αὐτοὶ τῶν κατασκόπων πλεῖον ὠφελοῦσι· πίστεις γὰρ λαμβάνοντες παρὰ τῶν στρατηγῶν ἐλευθερίας τυχεῖν σὺν γυναιξὶ καὶ παιδίοις καὶ αὐτοὶ πρὸς κατασκοπὴν ἀποστέλλονται, καὶ μετὰ τὸ κατανοῆσαι ὡς ἔχει τὰ τῶν ὁμοφύλων ἅπαντα ἀποστρέφοντες τὸ ἀληθὲς ἀπαγγέλλουσι.*

XIX.

Περὶ διελεύσεως κλεισούρας μὴ κατεχομένης παρὰ τῶν πολεμίων.

Τοῦ δὲ στρατοπέδου ἐν τῇ πολεμίᾳ εἰσελεύσεσθαι μέλλοντος πρὸ ἡμερῶν τινων στελλέσθωσαν οἱ δουκάτωρες καὶ κατάσκοποι καὶ χωσάριοι πρὸς τὸ πάσας καλῶς ἀνερευνήσασθαι τὰς ὁδοὺς καὶ γνῶναι εἰ παρὰ τῶν πολεμίων

---

2 *τραπεζῖται* P^1, ex *R* habent *ndvp* ‖ 5 *ἐπισυνάγωνται* et *δέχωνται* P^1R, correxit Graux ‖ 9 *δηλοποιεῖν* Vári, *δήλα ποιεῖν* P^1n, *δῆλα ποιεῖν*, ut videtur, ceteri ‖ 12 *εἴτουν* Graux, *εἴτ' οὖν* P^1R (*εἶτ' οὖν k*) ‖ 13 *μηδὲν* Graux[1], *μηδὲ* P^1R (*μὴ δὲ nk*) ‖ 14—17 Verba *καὶ παισὶν* usque *σὺν γυναιξὶ* desunt in P^1 ‖ 24 *ἡμερῶν τινῶν* P^1R ‖ 26 Scribendum forte *διαγνῶναι?*

κατέχονται. καὶ εἰ μὲν εὑρεθεῖεν μὴ κατεχόμεναι, καὶ οὕτως συμφέρον ἐστὶ μὴ ἐμβαλεῖν τὸ στράτευμα εἰς δυσχωρίας· συμβαίνει γὰρ καὶ μετὰ τὸ ἀπάρξασθαι τῆς εἰς τοὺς στενωποὺς τόπους διαβάσεως ἐπελθεῖν πολεμίους. εἰ δέ τις ἀνάγκη ἐστὶ κατεπείγουσα διὰ τῶν τοιούτων ὁδῶν διελθεῖν, πεμπέσθω πρὸ μιᾶς ἢ καὶ δύο ἡμερῶν πεζικὴ δύναμις σὺν ἀνδρείῳ καὶ συνετῷ ἄρχοντι πλείονας τοὺς τοξότας καὶ ἀκοντιστὰς τῶν ὁπλιτῶν ἔχουσα· εἰ δὲ καὶ ἱππεῖς δυνατόν ἐστιν ἐκεῖσε ἐνεργῆσαι καὶ τοῖς πεζοῖς συνεῖναι, εἰς μεγάλην τούτων ἔσονται προθυμίαν· σὺν αὐτοῖς δὲ καὶ δουκάτωρες ἔστωσαν ἐμπειρότατοι, καὶ ταξιαρχίαι τῶν δυτικῶν τῶν ἐπισταμένων μᾶλλον τῶν ἄλλων ἀκριβῶς τὸν τοιοῦτον τόπον. ὁ δὲ ἄρχων τὸν πάντων ὑψηλότερον σπευσάτω κατασχεῖν τόπον ἢ καὶ φρούριον ἕτοιμον εἰ τύχοι ἐνεῖναι ἐν αὐτῷ τῷ τόπῳ, κἀκεῖθεν μὴ μόνον τὴν ὁδόν, ἣν διαβαίνειν μέλλει τὸ στράτευμα, ἀσφαλῶς κρατησάτω, ἀλλὰ καὶ τὰς λοιπὰς ἁπάσας τὰς δυναμένας δηλονότι πρὸς αὐτὴν εἰσαγαγεῖν λαὸν πολέμιον σὺν ἀκριβείᾳ πολλῇ φυλαττέτω, ἵνα μηδαμόθεν ἰσχύσωσιν ἐπελθεῖν ἐχθροὶ τῇ στρατιᾷ ἐν τῇ δυσχωρίᾳ οὔσῃ καὶ βλάβην εἰς αὐτὴν κατεργάσωνται. μετὰ δὲ τὴν ἀσφαλῆ κατάσχεσιν τῆς ὁδοῦ δηλούτω ὁ ἄρχων τῷ ἁγίῳ ἡμῶν βασιλεῖ, [fol. 227^v P^1] καὶ τότε τῆς ὁδοιπορίας || ἀπτέσθω. ἀφοριζέτω δὲ ταξιαρχίας δύο καὶ προπορευέσθωσαν τῶν ἱππέων ἀξίνας βαστάζουσαι καὶ πελέκεις πρὸς τὸ τὴν ὁδὸν ἀποκαθαίρειν ὅπου δεῖ. πρόσταξιν δὲ βασιλικὴν ὁ τῶν προπορευομένων δύο ταξιαρχιῶν ἡγεμὼν ἐχέτω, ἵνα ἀνὰ τὴν ὁδὸν ταύτην ὁπόσους στενωτάτους καὶ δυσβάτους εὕροι τόπους πεζοὺς καταλιμπάνῃ κατέχειν τε καὶ φυλάττειν αὐτοὺς ἄχρι τῆς τοῦ ὅλου στρατοῦ διαβάσεως. ἐπέσθωσαν δὲ τούτοις τοῖς πεζοῖς

---

2 *συμφέρον ἐστὶν* P^1, ex *R* habent *vnp*, fortasse etiam *E* || 4 *πολεμίων* P^1 || 5 *ἀνάγκη ἐστὶν Pvnp*, forte etiam *E* || 13 *ὑψηλότατον* coniecit Graux || 14 *εἰ τύχοιεν εἶναι* P^1R (exceptis *np*, qui *εἰ τύχοι εἶναι* habent); corr. Graux || 15 *κακεῖθεν* P^1 || 19 *ἐν τῇ δυσχωρίᾳ* om. P^1 || 20 *ἀσφαλῆ* Vári, *ἐπιφαλῆ* P^1, *ἐπισφαλῆ R* || 27 *καταλιμπάνει* P^1R (*καταλιμπάνῃ u*) || 28 *τὲ* P^1 || 29 *ἐπέσθωσαν v*, *ἐπέσθωσαν* P^1, ex *R*: *ndk*; quid ceteri?

αἱ τυπωθεῖσαι προπορεύεσθαι τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου ἱππικαὶ τάξεις, καὶ μετ' αὐτὰς οἱ μετὰ τοῦ βασιλέως περιπατοῦντες πεζοὶ οἵ τε Ῥῶς καὶ μαλάρτιοι καὶ τοξόται, μετὰ δὲ τούτους ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος καὶ οἱ σὺν αὐτῷ καὶ μετ' αὐτοῦ ἑπόμεναι ἱππικαὶ τάξεις, καὶ μετ' αὐτοὺς καθεξῆς ἡ λοιπὴ στρατιὰ διερχέσθω, καθὼς ἕκαστα προεξεθέμεθα. αἱ δὲ δύο ταξιαρχίαι αἱ παντὸς προπορευόμεναι τοῦ στρατοῦ ἄχρι τοῦ ἀπλήκτου τὴν αὐτὴν φυλαττέτωσαν τῆς ὁδοιπορίας τάξιν, ὡσαύτως καὶ αἱ λοιπαί. ὄπισθεν δὲ πάντων καὶ αὐτοῦ τοῦ σάκα δύο ταξιαρχίαι πεζῶν ἐπακολουθείτωσαν· ὁ δὲ προκατασχὼν τὰς ὁδοὺς ἄρχων, εἰ μὴ σύμπαν διέλθῃ τὸ στράτευμα, μὴ καταλιπέτω ταύτας, ἀλλὰ μετὰ τὴν ἁπάντων διέλευσιν, τότε καὶ αὐτὸς ὕστατος σὺν τῷ ὑπ' αὐτῷ λαῷ διαβήτω.

XX.

Περὶ κλεισούρας κατεχομένης ὑπὸ τῶν πολεμίων.

Εἰ δὲ παρὰ τῶν ἐχθρῶν οἱ στενωποὶ προκατελήφθησαν τόποι μετὰ παρασκευῆς καὶ δυνάμεως, ἐν οἷς ἐμεμελέτητο τὸ στράτευμα διελθεῖν, καὶ τοῦτο σαφῶς παρά τε τῶν κατασκόπων καὶ λοιπῶν τῶν ἀνωτέρω λεχθέντων ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος πεπληροφόρηται, χρὴ μὴ πλησιάσαι τῷ τόπῳ ἐκείνῳ μήτε μὴν εἰς ἑτέραν κατεχομένην παρὰ τῶν πολεμίων δύσβατον ὁδὸν παραβουλότερον καὶ ἐπικινδύνως ἐμβαλεῖν τὸ στράτευμα. τοῦτο δέ φαμεν οὐχὶ τῷ τῶν ἐχθρῶν δέει, ἀλλὰ παραινοῦντες τὴν μαχομένην τὴν κινδυνώδη τῶν τόπων φεύγειν τραχύτητα· εἷς γὰρ τῶν ἀσθενῶν πολλάκις τῇ ὀχυρότητι τοῦ χώρου βοηθούμενος πλείστους τῶν ἀν-

---

4 οἱ om. P^1, ex *R*: *v* ‖ 5 καὶ καθεξῆς P^1 ‖ 10 ἐπακολουθήτωσαν P^1R, corr. Graux ‖ 17 τόπω P^1 | ἐμεμελέτητο τὸ Vári, μεμελέτητο P^1, ex *R* habent *nd*; μεμελέτη τὸ *Emav*, μελέτη τὸ *kb*, μεμελέτη τὸ *p* ‖ 21 ἐκείνῳ om. P^1 | κατεχομένην Vári, κατεχομένων P^1R ‖ 22 παραβουλοτέρως *d*, παραβουλοτέρων habent ex *R*: *Emabkv*; παραβολωτέρως scripsit Graux, quod P^1n habent, recte habent ‖ 23 δὲ φαμὲν P^1 ‖ 24 τὴν κινδυνώδη .... τραχ. Vári; P^1R: καὶ κινδ. .... τραχ.

δρείων καταγωνίζεται. ὅπου γὰρ οὐ δυνατὸν τῇ χειρὶ ἢ τῷ ἵππῳ καὶ τοῖς ἅρμασι χρήσασθαι, δυνατοῦ τούτου τῷ πολεμίῳ τυγχάνοντος, προφανὴς ὁ κίνδυνος· κρεῖττον οὖν ἐστι καὶ συμφέρον εἰς ἑτέραν ἀπελθεῖν ἐλευθέραν, εἰ τάχα ‖ [fol. 228^r P^1] τριῶν ἢ καὶ τεσσάρων ἡμερῶν ἀπέχει τὸ τῆς ὁδοῦ ἐκείνης διάστημα, καὶ δι' αὐτῆς, εἰ μὴ κατέχεται, διελθεῖν ἀποστείλαντα πρότερον καὶ διὰ πεζῶν ταύτην κατασχόντα τῷ τρόπῳ ᾧ παρεθέμεθα πρὸς τὸ διελθεῖν ἀκινδύνως. εἰ δὲ τυχὸν καὶ αὕτη κατεσχέθη παρὰ τῶν ἐναντίων, οἱ δουκάτωρες ἀπὸ τῶν πλαγίων ἑτέρων ὁδῶν τῶν ἔνθεν κἀκεῖθεν τῆς κρατουμένης οὐσῶν δύνανται διαβιβάσαι λαὸν πεζικὸν ἱκανὸν καὶ κατὰ νώτων εἴτε ἐκ πλαγίων τῶν πολεμίων ποιῆσαι. καὶ εἰ μὲν περιγένωνται τῶν ἐχθρῶν καὶ τούτους πολέμῳ διώξωσιν ἢ ἐκεῖνοι τὴν ἐκ τῶν πλαγίων κατ' αὐτῶν δειλιάσαντες ἔφοδον μόνοι ὑποχωρήσωσιν, ἀφόβως τὸ στράτευμα διελεύσεται.

Εἰ δὲ λόφου ἐν ἐκείνῳ τῷ τόπῳ ὄντος ἢ πέτρας ὑψηλῆς καὶ ταύτης δίκην φρουρίου οὔσης ἐγκρατεῖς ὄντες οἱ πολέμιοι καὶ τῇ ἐκείνης ἀσφαλιζόμενοι ὀχυρότητι καρτεροῦσι φυλάττοντες τὴν ὁδόν, εἰ μὲν οὐχ οἷόν τε ἐστὶν ἐκ δύο ἢ κἂν ἀφ' ἑνὸς τούτοις προσβαλεῖν πόλεμον, διὰ τῆς δημοσίας καὶ μεσαιτάτης ὁδοῦ ἐλαφροί τινες καὶ ῥωμαλέοι πεζοὶ αὐτοῖς ἐπελθέτωσαν, καὶ εἰ δυνηθῶσι τούτους ἐρεθίσαι πρὸς μάχην καὶ τοῦ ὀχυροῦ ὑπεξαγάγωσι τόπου ἐσχηματισμένην ὑποκριθήτωσαν φυγήν, ἵν' οἱ ἐκ πλαγίου ⟨ἢ⟩ ἐκ τῶν ὄπισθεν ἐπιδραμόντες καταπολεμήσωσι καὶ ἀπώλειαν αὐτῶν κατεργάσωνται. εἰ δὲ πάντῃ ἀδύνατον ἀπὸ τῶν πλαγίων ἐπελθεῖν τοῖς πολεμίοις, ἀβάτου τέλεον ὄντος τοῦ τόπου, ὥσπερ πολλοὺς ἐθεασάμεθα τοιαύτην ἔχοντας θέσιν, διὰ μιᾶς τῆς κρείττονος τῶν πλαγίων ὁδῶν ἀκωλύτως τὸ στράτευμα διελεύσεται μηδεμίαν βλάβης ὑποψίαν ἀπὸ τῶν πολεμίων

---

9 *τυχῶν* P^1 ‖ 10 *κακεῖθεν* P^1 ‖ 11 *διαβιβάσαι d*, *διαβάσαι* ceteri ‖ 15 *ὑποχωρήσουσιν* P^1R; emendavi ‖ 17 *ἐντὸς* P^1 ‖ 20 *οἷον τέ ἐστιν* P^1; cf. p. 12, vs. 7 ‖ 21 *ἀφενὸς* P^1 ‖ 22 *τινὲς* P^1 (ex *R* omnes, quos vidi) | *ῥωμαλαῖοι* P^1R, corr. Graux ‖ 23 *τούτοις* P^1R, *corr.* Vári; cf. De velit. bell. p. 214. 234 ‖ 25 *ἢ* *inseruit* Graux, omm. P^1R ‖ 27 πάντη P^1 ‖ 31 μηδὲ μίαν P^1

ἔχον· ὥσπερ γὰρ οἱ οἰκεῖοι ἐκωλύθησαν ὑπὸ τῆς δυσχωρίας τοῖς ἀλλοτρίοις συμβαλεῖν, οὕτω κἀκεῖνοι ἄβατον καὶ ἀδύνατον τὴν πρὸς τοὺς ἡμετέρους διάβασιν ἕξοιεν. παρέστησε δὲ ἡμῖν ἡ πεῖρα διδάξασα καὶ δι' ὀρέων καὶ ὁδῶν μὴ συνήθων ἀλλ' ἀγνώστων μὲν τοῖς πολεμίοις διὰ τὸ ἀτριβές, τοῖς δὲ ἐμπείροις δουκάτωρσι γινωσκομένων καὶ ἐπιτηδείων οὐσῶν πρὸς διέλευσιν, καὶ δι' αὐτῶν τῶν ἀπονοήτων εὐκολώτερον καὶ ἀβλαβέστερον διήλθομεν ἡμεῖς τε αὐτοὶ καὶ μυρίοι ἕτεροι. εἰ μὲν οὖν οἱ δουκάτωρες εἶεν ἀξιόπιστοι καὶ πεπειραμένοι τοῦ καὶ ἕτερα μεγάλα ‖ φοσσάτα δουκατωρεῦσαι [fol. 228ᵛ P¹] καὶ τοιούτων ὁδῶν ἔχωσιν εἴδησιν, προκατασχεθήτωσαν αὗται διὰ πεζικοῦ πλήθους κατὰ τὸν δηλωθέντα τρόπον, καὶ διαβήτω ἐκεῖσε τὸ στράτευμα ἀφόβως. ἀναγκαῖον δὲ ταύτην ἢ ἑτέραν, ἣν ἂν διέλθῃ ὁ ἡμέτερος λαός, φυλάττεσθαι μετὰ πεζικῆς δυνάμεως κρατούσης εἰς ἀσφάλειαν ἑαυτῆς, ὡς εἶεν συγκείμενα φρούρια ἢ τὸν ὑψηλότατον καὶ ὀχυρώτατον τόπον· καὶ εἰ μὲν δι' αὐτῆς ἢ ὑποστρέψαι μέλλει ἢ χρείας εἰσφέρεσθαι πρὸς τὸ στρατόπεδον, τὸ ἀφρόντιστον ἕξει, εἰ δὲ δι' ἑτέρας, μηνυθήτω τοῦτο τῷ τῶν πεζῶν ἄρχοντι κἀκείνην εὑρεθήσεται φυλάττων ὁδὸν κατὰ τὴν τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου ἐξέλευσιν, ἥνπερ ἂν προσταγῇ. εἰ δὲ μὴ πεζικὸν μάχιμον κατελείφθη πρὸς τὸ τὴν κλεισοῦραν φυλάττειν, ἀλλ' ἄφετος συνεχωρήθη, δεῖ τὴν ὁμοίαν, καθὼς ἐρρήθη, τηρεῖν ἀκρίβειαν καὶ ἀσφάλειαν τῆς πολεμίας ἐξιέναι καὶ ὑποστρέφειν μέλλοντι, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. κατὰ γὰρ τὸ μὴ δήλην εἶναι τὴν τῆς στρατιᾶς πρὸς τὴν πολεμίαν εἴσοδον τοῖς ἐναντίοις, ἐν ὁποίῳ μέλλει τῆς χώρας εἰσβαλεῖν μέρει, ἔτι δὲ καὶ διὰ τὸ φυγαδεῦσαι ἕκαστον πάντα τὰ προσόντα αὐτῷ ἐπείγεσθαι, εἰκός ἐστιν ἀφυλάκτους τῷ τοιούτῳ τρόπῳ καταλιπεῖν τὰς ὁδούς. ἐπειδ' ἂν δὲ ἀπο-

2 κακεῖνοι P¹ ‖ 4 πείρα P¹ | δι' ὀρέων P¹ et manus correctrix cod. *k*, qui in textu, sicut ceteri *R*, δι' ὀρνέων exhibet ‖ 8 μύριοι *dp* ‖ 10 Ante τοῦ inserunt P¹*R* ἐκ, quod delevi ‖ 15 ὡς P¹, εἰ *R* (εἶ *v*) ‖ 16 ὀχυρότατον P¹ ‖ 17 ὑποστρέψῃ *R* (ὑποστρέψεὶ *kl*) ‖ 22 καταλείφθη Graux, καταλειφθῆ P¹ et, ut videtur, *R* (καταληφθῆ *m*) | κλεισούραν P¹ ‖ 29 εἰκός ἐστιν P¹, ex *R* habent *vk*; ceteri εἱκός ἐστιν

χωρῆσαι τῆς πολεμίας ὁ στρατὸς βούληται, τοῖς ἐχθροῖς οὐκ ὀλίγη τότε φροντὶς τοῦ προκατασχεῖν τὰς ὁδούς, καὶ τὰ οἰκεῖα καὶ ἀλλότρια ἐν βραχεῖ συνηγμένα κομίσασθαι· συμβαίνει δὲ καὶ κατευοδωθέντι τῷ στρατοπέδῳ πληθὺν ἀνδραπόδων καὶ κτηνῶν ἐπιφέρεσθαι, καὶ περὶ ταῦτα ἕκαστον ἀσχολεῖσθαι· χρεία οὖν τότε πλείονος φυλακῆς καὶ μείζονος.

Ὅτʼ ἂν οὖν τὴν στρατιὰν ὑποστρέφουσαν διὰ τῆς κλεισούρας διαβιβάσαι μέλλωμεν, ἀναπαῦσαι χρὴ ταύτην καὶ μὴ τεταλαιπωρημένην ἐκ τῆς ὁδοιπορίας καὶ μάλιστα τὴν πεζικὴν ἐξάγειν πρὸς μάχην· εἰ ἄρα καὶ ὑπὸ τῶν πολεμίων ἡ ὁδὸς κατεσχέθη, ἀλλʼ ἐν ἐπιτηδείῳ τόπῳ πλησίον τῆς κλεισούρας ὄντι ἀπληκεύσαντα ἀναπαῦσαι τὸ λοιπὸν τῆς ἡμέρας ἢ καὶ τὴν ἐπιοῦσαν, καὶ παραινέσαντα τούτους καὶ πρὸς ἀνδρείαν ἐπαλείψαντα οὕτως τῇ μετʼ αὐτὴν πρωΐθεν τῆς διαβάσεως ἀπάρξασθαι, καθὼς ἀκριβῶς προεκδέδοται. καὶ περὶ μὲν τοῦ ἀσφαλῶς καὶ ἀβλαβῶς διελθεῖν τὸ στράτευμα τὰς κλεισούρας ὡς οἷόν τε ἦν ἐξεθέμεθα· τὸ κρεῖττον δὲ πάν-
[fol. 229r P^1] των ἐστὶ καὶ λυσιτελέστερον διʼ ὁμαλῆς καὶ ‖ εὐρυχώρου ὁδοῦ εἰσάγειν ἐν τῇ πολεμίᾳ καὶ ἐξάγειν τὸ στράτευμα καὶ μηδέποτε διὰ στενῶν καὶ δυσβάτων ὁδῶν τὴν βαρεῖαν δύναμιν τό τε πλῆθος τοῦ ὑπουργικοῦ καὶ τῶν ἀχθοφόρων διαβιβάζειν.

Εἰ δὲ ἡ ὁδός, ἐν ᾗ τὴν ἐξέλευσιν μέλλει ποιεῖσθαι τὸ στράτευμα, στενή τις ἐστὶ καὶ δύσβατος καὶ πλησιάζουσιν οἱ ἐχθροὶ ἐν τοῖς τοιούτοις στενώμασιν, εἰ μὲν διὰ τριῶν ὁδῶν ἐστιν ἡ τοῦ στενώματος ἔξοδος, δεῖ, εἰ ὅλως οὐκ ἀπʼ ἀλλήλων μακρύνουσιν αἱ ὁδοί, στῆναι τοὺς τρεῖς χιλιάρχους τοὺς οὐραίους ὄπισθεν, καὶ ὁ μὲν εἷς χιλίαρχος μετὰ τοῦ πεζικοῦ αὐτοῦ κρατείτω τὴν μίαν στενωπὸν τῆς ὁδοῦ, ὁ δὲ

---

6 *χρεία οὖν* P^1*d*, *χρείαν οὖν* praeter *n*, qui *χρείαν εἶναι* exhibet, fortasse ceteri omnes ‖ 7 Paragraphus non distinguitur in P^1*nd* | *ὅταν* R ‖ 9 *μήτε ταλαιπωρημένην* P^1 ‖ 15 *διαβάσεως dk*, ceteri *διαβιβάσεως* ‖ 20 *μὴ δέποτε* P^1 ‖ 21 *τότε* P^1 ‖ 23 Paragraphus non distinguitur in P^1*n* ‖ 24 *στενή τίς ἐστιν* P^1*n*, *στενὴ τίς ἐστι d*, *στενὴ τις ἐστὶν v*, *στενή τίς ἐστι k*; de *ceteris nescitur.* Scribendum fortasse στενότης ἐστὶ ‖ 26 P^1*R post ὅλως inserunt καὶ*, quod eieci

ἕτερος τὴν ἄλλην καὶ ὁ ἄλλος τὴν ἑτέραν· ὡσαύτως δὲ καὶ ἐν τῷ μετωπαίῳ στηκέτωσαν ἕτεροι τρεῖς, καὶ ἐξ ἑκατέρων τῶν πλαγίων στηκέτωσαν οἱ ἓξ χιλίαρχοι φυλάττοντες τὴν τάξιν τῆς ἀνωτέρω ῥηθείσης τετραγώνου παρατάξεως, καὶ διὰ μέσου τῶν ἀμφοτέρων ὁδῶν χωρηθήτω τὸ καβαλλαρικὸν καὶ περιπατείτω εὐτάκτως τῶν δηλωθεισῶν πεζικῶν παρατάξεων φυλαττουσῶν τὴν τοῦ στενοῦ διέξοδον μέχρι τῆς τοῦ καβαλλαρικοῦ διελεύσεως. εἰ δὲ καὶ ἔμπροσθεν τοῦ στενοῦ φόβος ἐχθρῶν ὑποπτεύεται, δεῖ τοὺς μετωπαίους πεζοὺς ἤγουν τοὺς τρεῖς χιλιάρχους προηγεῖσθαι ἔμπροσθεν τοῦ καβαλλαρικοῦ μέχρι τῆς συμπληρώσεως τοῦ στενοῦ, καὶ τοῦ στενοῦ πληρουμένου δεῖ στῆναι τοὺς αὐτοὺς πεζοὺς μέχρις οὗ διέλθῃ τὸ καβαλλαρικὸν ὅλον, καὶ τοῦ καβαλλαρικοῦ διερχομένου καὶ ὄπισθεν πεζικῶν παρατάξεων πλησιαζουσῶν τότε δεῖ εὐτάκτως ἀποκινεῖν. εἰ δὲ δύο διέξοδοί εἰσι τοῦ στενοῦ, εἴτε καὶ μία, ὁμοίως ἡ αὐτὴ τάξις φυλαττέσθω. εἰ δὲ καὶ παρὰ τῶν ἐχθρῶν τοῦτο ἐπιτηδευθῇ καὶ κρατηθῶσι τὰ στενὰ παρ' αὐτῶν ἐπακολουθούντων τῶν ἐχθρῶν ὄπισθεν, ἑτέρας διεξόδου μὴ οὔσης χρὴ σκοπῆσαι ἐπιτηδείους τόπους ὕδωρ ἔχοντας καὶ ἐκεῖσε προσαναπαῦσαι τὸ στράτευμα, καὶ τότε, εἰ μὲν οἱ ἐπακολουθοῦντες ἐχθροὶ πλησιάσωσι, δεῖ πρῶτον τὰς τοῦ καβαλλαρικοῦ στρατοῦ παρατάξεις ἑτοιμάσαι καὶ ὁρμῆσαι κατὰ τῶν ὄπισθεν ἐπακολουθούντων ἐχθρῶν· καὶ εἰ μὲν Θεοῦ συνεργίᾳ τραπῶσι, δεῖ αὐτοὺς καταδιώκειν κατὰ τὰς ἀνωτέρω ῥυθμισθείσας διώξεις τῶν ἐχθρῶν μέχρις οὗ τελείως παραλυθῶσι καὶ μὴ δύνασθαι ‖ τοὺς διασωθέντας ἐξ αὐτῶν ἄλλο συσταθῆναι καὶ ὑπο- [fol. 229v P^1] στρέψαι· εἰ δὲ εἰς πλῆθος ὄντες οἱ ἐχθροὶ θαρσαλέως ἐνίστανται πόλεμον ἐπιζητοῦντες, χρὴ τότε καὶ τὰς πεζικὰς παρα-

5 χωρεθήτω P^1, ex *R* habent *nvak* ‖ 6/7 Verba |τείτω εὐτάκτως .... παρατάξεων φυλατ| desunt in P^1 ‖ 10—13 Verba inde a τοῦ καβαλλαρικοῦ usque ad καὶ τοῦ καβαλλαρικοῦ iterantur in P^1 ‖ 15 διέξοδοι εἰσὶ P^1; ex *R* omnes forte codices ‖ 21 οἱ om. P^1, habent *R* ‖ 22 πλησιάσωσι *k*, πλησιάσουσι ceteri *R* praeter *v*, qui sicut P^1 πλησιάσουσιν exhibet ‖ 27 Scribendum sit fortasse ἄλλως συνταχθῆναι

τάξεις τὸ ὅλον στράτευμα ἐπακολουθεῖν, τοῖς ⟨δὲ⟩ καβαλλαρίοις καὶ δημοσίως τὸν πρὸς αὐτοὺς πόλεμον συνάπτειν, μέχρις οὗ Θεοῦ συνεργοῦντος ἡμῖν ἡ τροπὴ αὐτῶν γένηται, καὶ τούτων τρεπομένων καὶ μετὰ νικητηρίων καὶ χαρμοσύνης τοῦ στρατοῦ ὑποστρέφοντος πάντως καὶ οἱ τὰ στενὰ τῶν ὁδῶν κρατοῦντες ἐχθροὶ δειλίᾳ πολλῇ κατασχεθέντες καὶ αὐτοὶ φυγῇ χρήσονται· εἰ δὲ τὴν δειλίαν παρωσάμενοι αὐθαδῶς καὶ θρασέως ἵστανται τὴν διέλευσιν τῶν στενῶν κρατοῦντες, χρὴ σκοπηθῆναι αὐτοὺς παρὰ τοῦ ἀρχηγοῦ τοῦ στρατοῦ, οἷοι καὶ πόσοι εἰσὶν οἱ αὐτοὶ καὶ ἐν ποίᾳ τάξει ἵστανται, καὶ κατὰ τὴν ποιότητα καὶ ποσότητα αὐτῶν δεῖ διὰ τριῶν κατ' αὐτῶν πεζικὰς παρατάξεις εὐτρεπίσαι καὶ ἀποστεῖλαι· καί, εἰ μὲν εἰς λίθους καὶ πέτρας κρημνώδεις ἵστανται φυλάττοντες κάτωθεν τὰς ὁδούς, δεῖ ἀποστεῖλαι ἀκοντιστὰς καὶ ψιλούς, ⟨ἤγουν⟩ τοξότας καὶ σφενδονιστάς, εἰ δυνατὸν καὶ ἐκ τῶν μεναυλάτων τινὰς πρὸς τὸ ἀπογυρεῦσαι τοὺς αὐτοὺς κρημνώδεις τόπους, καὶ ἐκ τῶν ὁμαλῶν καὶ πεδινωτέρων τόπων ἐπ' εὐθείας ἐλθεῖν· καὶ τῶν ἐχθρῶν ἐνισταμένων οὐ χρὴ τὸν πόλεμον ἐπισπεύδειν καὶ ἀσκόπως συμβάλλειν τοῦ τόπου βοηθοῦντος τοῖς ἐχθροῖς, ἀλλὰ ἐκ διαφόρων τόπων τὴν ἐπέλευσιν ποιήσασθαι κατ' αὐτῶν καὶ περισπάσαι αὐτοὺς μετὰ τοὺς εἰρημένους τοξότας καὶ ἀκοντιστὰς καὶ σφενδονιστάς. καὶ ἐὰν οὕτως ἐπιμένωσι βοηθούμενοι ἐκ τῆς τοῦ τόπου ὀχυρότητος, χρὴ μίαν τότε παράταξιν ὁπλιτῶν εἴτε καὶ δύο ἀποστεῖλαι διὰ τῶν πεδινωτέρων τόπων ἐπελθεῖν κατ' αὐτῶν, καὶ Θεοῦ συνεργοῦντος ἡ τροπὴ αὐτῶν γενήσεται, καὶ εἶθ' οὕτως ἀκωλύτως διέλθῃ τὸ λοιπὸν στράτευμα ὅλον τοὺς στενοὺς καὶ δυσβάτους τόπους ἐκείνους.

---

1 δὲ inseruit Vári ‖ 5 Malim παντὸς ‖ 14 τὰς κάτωθεν ὁδοὺς vel ἄνωθεν τὰς ὁδοὺς tentavit Graux ‖ 15 ἤγουν inseruit Vári ‖ 18 πεδινοτέρων P^1R; item infra; correxi conlato scholio ad Oppiani Hall. II 363 scripto ‖ 20 Scribendum fortasse ἀλλ' ἐκ

XXI.

Περὶ πολιορκίας.

Οἱ δὲ πόλεις τειχήρεις ἑλεῖν πολέμῳ βουλόμενοι καὶ δι᾽ αὐτῶν τὸ πολέμιον ἅπαν συνταπεινῶσαι, πυκναῖς ἐπιδρομαῖς κατὰ τῆς αὐτῶν χρῶνται χώρας διά τε κουρσώρων καὶ τραπεζιτῶν, τῶν παρὰ τοῖς δυτικοῖς χωσαρίων καλουμένων, καὶ ἑτέρων ἱππικῶν καὶ πεζικῶν δυνάμεων, ἵνα τοῖς ‖ συχνοῖς [fol. 230r P^1] τραύμασι καὶ τοῖς ἀλλεπαλλήλοις ἐξανδραποδισμοῖς αὐτῶν τε τῶν ἐχθρῶν καὶ τῶν προσόντων αὐτοῖς καὶ τῷ μὴ ἐᾶσθαι τὴν αὐτῶν ἐργάζεσθαι χώραν ὡς βούλονται, ἀλλὰ παντοίως πιέζεσθαι, εὐχείρωτοι γίνωνται. εἰ γὰρ μὴ πρότερον αἵ τε ἄμπελοι καὶ τὰ καρποφόρα τούτων ἐκτέμνονται δένδρα καὶ τὰ θέρη κατακαίονται καὶ τὰ κτήνη ἀφαιροῦνται, ὅπως ἡ τοῦ λιμοῦ βία τούτους μετανάστας καὶ φυγάδας ποιήσῃ, ἐκπολιορκῆσαι πόλεις τῶν ὀχυρῶν εὐθηνουμένας τοῖς ἐπιτηδείοις καὶ τῇ τῶν μαχομένων πληθύι δυσχερέστατον. ὁ δὲ μὴ οὕτως τὰ κατ᾽ αὐτῶν διαθέμενος, ἀλλ᾽ ἐκ τοῦ προχείρου δορύκτητα τὰ τῶν ἐναντίων ποιῆσαι βουλόμενος ὀχυρώματα, μάτην τὴν κατ᾽ αὐτῶν ἐπέλευσιν ἐξαρτύεται. δεῖ δὲ ὥσπερ τοῖς ἐχθροῖς ἔνδειαν οὕτω καὶ τῷ οἰκείῳ στρατεύματι τὸ ἀνελλιπὲς τῶν χρειῶν περιποιήσασθαι. εἴπερ οὖν τῇ τῶν Ἀγαρηνῶν ἐμβαλεῖν μέλλει χώρᾳ, ἐξελικμήθη δὲ τὰ ἐδώδιμα ταῖς πυκναῖς ἐρημώσεσιν, ὥστε σπάνιν εἶναι τούτων ἐν τῇ πολεμίᾳ, καὶ τῷ στρατεύματι ἀμήχανον αὖ πάλιν πλεῖον τῶν κδ΄ ἡμερῶν κριθὴν τοῖς ἰδίοις ἀλόγοις ἀπὸ τῆς ἑαυτῶν χώρας βαστάσαι, αἱ δὲ πόλεις ἃς πολιορκῆσαι βεβούληνται πολυάνθρωποί τε εἰσὶ καὶ πλείονος καιροῦ προ-

---

7 ἀλλ᾽ επαλλήλοις P^1, ἀλλ᾽ ἐπαλλήλοις *n*, ἀλλ᾽ ἐπ᾽ ἀλλήλοις *k*, ἀλλεπαλλήλοις *vd* et fortasse ceteri *R* ‖ 10 γίνονται P^1R, correxit Graux ‖ 11 ἐκτέμνονται *nabkm*, ἐκτέμνωνται P^1Edv ‖ 12 κατακαίονται *abk*, κατακαίωνται P^1 et ceteri *R* | ἀφαιροῦνται omnes, ut videtur, codices ‖ 16 καταυτὸν P^1, κατ᾽ αὐτῶν *dnvk* et ceteri | προχύρου P^1n, προχείρου *dvk* et ceteri ‖ 18 Conicio ἐξαρτύσεται | δὲ] γὰρ P^1 ‖ 24 κριθὴν *u* et in marg. manus sec. cod. *b*, κριθῆναι P^1R ‖ 26 πολυάνθρωποί τε εἰσὶ P^1dvk, πολυάνθρωποι τέ εἰσὶ *n*; quid ceteri?

φὰς ἔχουσι, λῦσαι τὴν πολιορκίαν ὁ λιμὸς ἀναγκάσει, εἰ μὴ ἀπὸ τῆς τῶν Ῥωμαίων γῆς ἐπιχορηγοῦνται χρεῖαι τῷ στρατοπέδῳ. ὁπότ' ἂν δὲ ἐν τῇ τῶν Ἀγαρηνῶν χώρᾳ τῇ πολυφόρῳ καὶ τοσαύτην ἀφθονίαν παρεχούσῃ γεωργίων, εἴπερ ἀπὸ τῆς ἡμετέρας οὐκ ἐπισιτίζεται γῆς τὸ στράτευμα, ἀδύνατον ἐπὶ συχνῷ χρόνῳ καρτερῆσαι κατὰ τῶν ἐπινοουμένων τι κατορθῶσαι, πόσῳ μᾶλλον ἐν τῇ τῶν Βουλγάρων χώρᾳ, ὅπου ἔνδεια πάντῃ τῶν ἀναγκαίων ἐστίν, ἐξαιρέτως δὲ τῆς κριθῆς· εἰ γοῦν ἀπὸ τῆς ἡμετέρας αἱ χρεῖαι οὐκ ἐπιχορηγοῦνται τῷ στρατεύματι, ἄπρακτοι οἴκαδε ἀποστρέψουσι, καὶ ἃ οὐκ ἴσχυσεν ἂν μεγάλη ἰσχὺς καὶ βαρεῖα δύναμις τῶν πολεμίων κατορθῶσαι, ἡ τῶν ἀναγκαίων ἐργάσεται ἔνδεια καὶ τὴν πολιορκίαν λῦσαι καταναγκάσει.

Ἔξεστι τοίνυν τινὰ τῶν κλεισουρῶν παρὰ λαοῦ ἡμετέρου κατέχεσθαι πρὸς τὸ τοὺς ἡμιόνους καὶ τὰ ὑποζύγια τὰ κομίζοντα τὰς τῆς στρατιᾶς χρείας — εἰ τύχῃ — καὶ ἁμάξας [fol. 230^v P^1] *ἀκωλύτως διέρχεσθαι, καὶ δι' ἑτέρου αὖθις λαοῦ πεζικοῦ τε καὶ ἱππικοῦ κατὰ τὴν ὁδὸν ἐπακολουθοῦντος αὐτοῖς, εἰ φόβον ἔχοιεν, φυλάττεσθαι, ἵν' ἔχουσα τὸ ἀρκοῦν τῶν ἀναγκαίων ἡ στρατιὰ τῇ ἐπιμονῇ καὶ καρτερίᾳ πέρας ἀξιόλογον τοῖς βουληθεῖσι Θεοῦ συνεργοῦντος ἐπιθῆται. ἐπ' ἂν δὲ ὁ στρατὸς πρὸς τὴν πολιορκίαν ὁρμῆσαι μέλλοι, προαποστεῖλαι δέον λαὸν μετὰ στρατηγοῦ ἀνδρείου ἐπιδραμεῖν πρὸ τριῶν ἢ καὶ τεσσάρων ἡμερῶν εἰ δυνατὸν ἀγνοοῦσι τοῖς πολεμίοις καὶ αἰχμαλωτίσαι ἀνθρώπους καὶ ζῷα, ἵνα καὶ αἱ τῶν πολεμίων βουλαὶ γνωσθῶσιν ἀπὸ τῶν ἑαλωκότων αἰχμαλώτων καὶ δειλία αὐτοῖς ἐπεισέλθῃ. καὶ εἰ μὲν ὑποψία*

---

1 *λύσαι* P^1, ex *R*: *dnv* ‖ 2 *χρείαι* P^1 ‖ 4 *παρέχουσι* P^1, *παρέχωσι* *R*; corr. Graux | *γεωργίων* Vári, *γεωργιῶν* P^1R (excepto *b*, qui *γεωργῶν* habet) ‖ 6 *ἐπισυχνῷ* P^1 | *κατὰ τῶν ἐπινοουμένων* Vári, *καὶ τῶν ἐπαινουμένων* P^1 et (praeter *m*, qui *ἀπαινουμένων* in textu, *ἴσως ἐπαινουμένων* in marg. habet a manu secunda) *R* ‖ 7 *τί* P^1, ex R: *dv* ‖ 9 *εἰ γοῦν* Graux, *ἤγουν* P^1R | *χρείαι* P^1 ‖ 13 *λύσαι* P^1, ex *R*: *dnv* ‖ 14 Paragraphus non distinguitur in P^1*dvk* ‖ 16 *στρατειᾶς* P^1*n*, *στρατείας* *d* ‖ 21 *τοῖς βουληθεῖσι* Vári, cf. p. 37, vss. 2, 17, 26; *τοῖς βουλευθεῖσι* P^1R ‖ 22 *μέλλῃ* coniecit Graux ‖ 23 *ἀνδρίου* P^1, ex *R*: *Ek*

πολεμίων οὐκ ἔστιν, ἐκεῖσε προσμεινάτω· φόβου δὲ τοιούτου ἐπηρτημένου ὑποστρέψας τῷ στρατοπέδῳ ὑπαντησάτω, ὁ ⟨δὲ⟩ βασιλεὺς ἡμῶν ὁ ἅγιος τῆς πολεμίας ἐπιβὰς ἐν τάξει ὁδοιπορείτω, καθὼς ἐξεθέμεθα. ἡνίκα δὲ τῇ πολιορκεῖσθαι μελλούσῃ πόλει πλησιάσει, ὡς ἀπὸ διαστήματος ἓξ μιλίων ταύτης ἀπληκευέτω· καὶ μίαν ἱππικὴν τάξιν ὀλίγον λαὸν ἔχουσαν ⟨προαπο⟩στειλάτω, ὄπισθεν δὲ τούτων ἐνέδρας ἐξ ἑτέρας ἱππικῆς τάξεως στησάτω· εἰ δὲ ἔμπροσθεν — εἰ τύχῃ — πρὸ τῆς πόλεως παραδείσους εἶναι καὶ ἀμπελῶνας καὶ δένδρη, ἐκτεμνέτωσαν καὶ ἐκριζούτωσαν καὶ πυρπολείτωσαν, ἵν', εἴ ποτε οἱ πολέμιοι διὰ τὰ οἰκεῖα πράγματα δεινοπαθήσαντες ἐκδράμωσι τοῦ ἀπώσασθαι τοὺς τὰ ἐκείνων δῃοῦντας καὶ μάχην συνάψωσιν, οὗτοι τὴν ἐσκαιωρημένην πλασάμενοι φυγὴν ἴσως ἐφελκύσωνται τούτους, ἄχρις οὗ τῇ ἐνέδρᾳ περιπαρῆναι παρασκευάσωσι. τοῦτο δὲ γενέσθαι ἐκτιθέμεθα τοῦ ἀποπειράσασθαι ἕνεκεν καὶ καταμαθεῖν πρότερον τόν τε λαὸν τὸν ἐντὸς καὶ τὸ πρόθυμον καὶ τὴν ἰσχὺν αὐτῶν· καὶ εἴπερ τούτους ὀλιγανδροῦντας ἐκ τῆς ἀκριβεστέρας ταύτης καταμάθοι πείρας, χωρεῖν πρὸς πολιορκίαν προθύμως. μετὰ δὲ τὴν τοιαύτην ἀπόπειραν ἀναλαμβανόμενος ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος ἀπὸ πασῶν τῶν ἱππικῶν τάξεων τοὺς ἐκλεκτοὺς καὶ εὐωπλισμένους πρὸς κατασκοπὴν ἀπίτω τοῦ τε ἀπλήκτου καὶ τῆς πόλεως, καὶ ταύτην κύκλῳ περιελθὼν καὶ διασκοπήσας καὶ νείμας ἑκάστῳ ἐγγράφως τοὺς ἀφωρισμένους τόπους τοῦ τε ἀπλήκτου καὶ τῆς τειχομαχίας ὑποστρεφέτω πρὸς ὃ ἦν ἀπλῆκτον. τῇ δὲ ἐπιούσῃ πρωΐθεν ἐκτά||ξας ἐνόπλους ὁ βασιλεὺς ἡμῶν [fol. 231r P1] ὁ ἅγιος τάς τε ἱππικὰς καὶ πεζικὰς τάξεις σὺν εὐταξίᾳ καὶ κόσμῳ πρὸς τὴν πόλιν χωρείτω, ἵνα καὶ ἀπὸ μόνης τῆς θέας καταπλαγέντες δειλιάσωσιν οἱ πολέμιοι· τῶν δὲ πυλῶν πασῶν ἀπ' ἐναντίας τάξεις στησάτω τὰς αὐτάρκεις πρὸς

---

2 *ἀπαντησάτω* voluit Graux | *δὲ* Vári inseruit ‖ 5 *ἀπο* P^1 ‖ 7 *προαποστειλάτω* Vári, *στειλάτω* P^1R ‖ 13 *δῃοῦντας* Vári, *δηουμένας* P^1, *δηουμένους* *va*, *δειουμένους* *nd* et fortasse *E*, *δεῖ· οὐ μένους* *km*, *δειομένους* *b*; in marg. cod. *m* a manu sec. legitur: *δῃουμένους* ‖ 15 *παρασκευάσωσι* *abk* et *u*, *παρασκευάσουσι* P^1*dvn*, *παρασκευάζουσι* *Em*

φυλακήν, ἵνα μὴ ἐξαίφνης συγκεχυμένου τοῦ ὑπουργικοῦ, ἅτε φροντιζόντων ἑκάστων τὰ τοῦ οἰκείου ἀπλήκτου, ἐκδραμόντες ἀπὸ τῆς πόλεως οἱ πολέμιοι τούτους διαταράξωσι· καὶ διοριζέσθω ἕκαστον ἀπληκεύειν εἰς τὸν ἀποκεκληρωμένον αὐτῷ τόπον, ἡ δὲ βασιλικὴ σκηνή, καθὰ καὶ ἀλλαχοῦ διείληπται, τὸν ὀχυρώτερον καὶ ὑψηλότερον ἐχέτω τόπον. ὁ δὲ ἐντὸς χάραξ ἀφιστάσθω τοῦ τείχους ὡσεὶ τόξων δύο βολὴν ἢ καὶ πλέον, ὅσον εἰς αὐτὸν δηλαδὴ οὔτε τὰ ἀπὸ τόξου πεμπόμενα βέλη, ἀλλʼ οὐδὲ τὰ ἀπὸ τῶν πετροβόλων ἀκοντίσματα δυνατὸν ἐφικνεῖσθαι· πλὴν μὴ πέρα τοῦ δέοντος ἔστω τὸ διάστημα, μή ποτε μήκοθεν ὄντος τοῦ ἀπλήκτου ἄδειαν εὑρίσκοντες οἱ πολέμιοι ἐξιόντες τῶν πυλῶν πυρπολῶσι καὶ κατακόπτωσι τὰ πολιορκητικὰ ὄργανα· εἰ δὲ σύμμετρον γένηται τὸ διάστημα, καὶ ἡ στρατιὰ ἀβλαβὴς συντηρηθήσεται, καὶ τοῖς ἑλεπολικοῖς ὀργάνοις καὶ τοῖς φυλάττουσιν αὐτὰ χρείας ἐπειγούσης οἱ στρατιῶται ἀπὸ τῶν σκηνῶν ἐξερχόμενοι σὺν δρόμῳ ἐπιβοηθήσουσι. χρὴ δὲ καὶ ἔξωθεν τοῦ ἀπλήκτου τάφρον εἶναι, ἵνα ἀμφοτέρωθεν ἀσφαλῶς φυλάττηται τὸ στρατόπεδον. εἰ δὲ χρονία ἡ πολιορκία γενέσθαι μέλλει, καὶ τεῖχος δομείσθω πρὸς ἀσφάλειαν τοῦ λαοῦ. οὐκ ἔστι δὲ δυνατόν, κυκλόθεν τοῦ τείχους ἀπληκεῦσαι μελλούσης τῆς στρατιᾶς, εἰς τετραγώνου σχήματος εἶδος ἀποτελεσθῆναι τὸ ἀπλῆκτον, ἀλλὰ κυκλοτερές, παρεκτεινομένης καὶ λεπτυνομένης τῆς στρατιᾶς διὰ τὴν κατεπείγουσαν χρείαν, ὅπως μήτε λαὸς πρὸς συμμαχίαν, εἰ βούλοιτο, τὴν πόλιν εἰσελθεῖν δύναιτο, μήτε τροφὰς ἢ ἀγγελίας οἱ ἐντὸς δέχωνται ἢ πέμπωσι πρὸς τοὺς ὁμοφύλους, ἄλλως τε δὲ ἵνα μὴ ἀφʼ ἑνὸς μέρους ἢ δύο ἡ τειχομαχία γένηται ἀλλὰ πανταχόθεν, ὅπως περισπώμενοι ἐξ ἑκάστου μέρους καὶ ἀντιποιούμενοι τοῦ παντὸς μερίζωνται καὶ διασκορπίζωνται, κἀντεῦθεν ἀσθενέστεροι καὶ εὐκαταγώνιστοι

---

2 ἑκάστων Graux, ἑκάστω *P*¹*R* ‖ 3 τούτοις *P*¹ ‖ 15 ἑλεπολικοῖς *P*¹, ex *R*: *dnk* ‖ 16 φυλάσσουσιν *P*¹*R*; correxi ‖ 21 κυκλώθεν *P*¹ ‖ 22 μελλούσης τῆς στρατιᾶς Graux, μέλλουσαν τὴν στρατιὰν *P*¹*R* ‖ 23 κυκλωτερὲς *R* ‖ 26 Ante τὴν πόλιν inserunt *P*¹*R* πρὸς (*n* πρὸ), quod delevi ‖ 28 Ante ἵνα insertum est in *R* καὶ

γίνωνται. εἰ δὲ τέλματα ἢ ὅρος ἀπὸ θατέρου μέρους προσπελάζει τῷ τείχει, ‖ εἰς μόνον τὸν ἐπιτήδειον τόπον [fol. 231v P^1 ἀσφαλῶς γινέσθω τὸ ἀπλῆκτον. τὰ δὲ πολιορκητικὰ ὄργανα συντομίᾳ καὶ ταχυτῆτι γενέσθω πολλῇ, ἵνα μὴ τριβὴν εἰς αὐτὰ δεχόμενα τοῦ χρόνου ἐπὶ κενῷ καταναλίσκωνται αἱ τροφαί.

XXII.

Περὶ τοῦ πῶς δεῖ φυλάττεσθαι τοὺς εἰς συλλογὴν χρειῶν ἀποστελλομένους καὶ τοὺς νέμοντας τοὺς ἵππους.

Ἑκάστῃ οὖν ἡμέρᾳ φοῦλκα εἰς φυλακὴν τῶν τε εἰς συλλογὴν χόρτου ἐξερχομένων καὶ τῶν τοὺς ἵππους νεμόντων στελλέσθωσαν· εἰς καθαροὺς δὲ τόπους τούτους νεμέτωσαν καὶ μὴ εἰς δασεῖς καὶ ὑλώδεις, ἵνα μὴ ἐν τοῖς ὑλώδεσι τόποις τῶν ἐχθρῶν ἀποκρυπτομένων ἀπροόπτως ὑπ' αὐτῶν καταβλάπτωνται. δουκάτωρας δὲ ἐμπείρους οἱ ἄρχοντες τῶν φούλκων ἐχέτωσαν ἐπισταμένους τὰς ὁδούς, δι' ὧν ἐστιν εἰκὸς ἐπελθεῖν τοὺς πολεμίους, καὶ ταύτας ἀσφαλῶς φυλαττέτωσαν· ἐχέτωσαν δὲ καὶ βίγλας εἰς ἐπιτηδείους τόπους, ἀφ' ὧν δύνανται πολὺ διάστημα κατοπτεύειν γῆς. τοῦ δὲ ἡλίου φαίνοντος ἔτι πάντες ὑποστρεφέτωσαν πρὸς τὸ ἀπλῆκτον· οἱ δὲ βιγλάτωρες, οἱ ἀπὸ τοῦ φοσσάτου ἀποστελλόμενοι, τούτων ὑποστρέφειν μελλόντων κατὰ τὸ ἔθος ἐξίτωσαν.

XXIII.

Περὶ τοῦ πῶς δεῖ τροπώσασθαι τοὺς πολεμίους τοὺς παρατρέχοντας καὶ ἐνέδρας τιθεμένους κατὰ τῶν εἰς συλλογὴν χρειῶν ἐξερχομένων.

Εἰ δὲ πολεμίους μάθῃ ὁ βασιλεὺς παρατρέχοντας καὶ ἐνεδρεύοντας κατά τε τῶν ἐξιόντων εἰς συλλογὴν χρειῶν

---

1 ὅρους P^1 et praeter *n* (qui ὅρος) atque *v* (qui ὅρος habet) *R* quoque | θατέρου P^1R ‖ 2 τείχη P^1 ‖ 4 ταχύτητι *R* (praeter *k*, qui ταχὺ, et *a*, qui ταχὺ τῇ habet) ‖ 5 καταναλίσκονται P^1, ex *R*: *dk* (ἀναλίσκωνται *u*) ‖ 18 φυλαττέσθωσαν *R* ‖ 25 ἐνέδρους τιθεμένας P^1

καὶ τῶν τοὺς ἵππους νεμόντων, νυκτὸς σὺν τοῖς ἐξ ἔθους ἀποστελλομένοις φούλκοις καὶ ἕτερον ἱππικὸν μάχιμον στειλάτω χρήσιμον ἀρχηγὸν ἔχον τῶν ἀνδρείων τινὰ καὶ ἐμπείρων, καὶ παρεγγυησάτω τούτῳ σκοτίας ἔτι οὔσης διχῇ διελεῖν τὸν λαὸν καὶ δύο καταστῆσαι ἐνέδρας, μίαν προσωτέρω ἑτέραν δὲ ὄπισθεν. καὶ τῶν ἐχθρῶν κατὰ τῶν τὰς χρείας συλλεγόντων ἢ τῶν τοὺς ἵππους νεμόντων ὁρμησάντων οἱ τῆς πρώτης ἐνέδρας ἐκδραμόντες σφοδρᾷ ῥύμῃ τούτοις συρραγήτωσαν· ὁ δὲ ὄπισθεν λόχος ἐξελθὼν συντεταγμένος ἀκολουθείτω τούτοις ἄχρις οὗ ἀπὸ τῶν ἑαλωκότων αἰχμαλώτων πληροφορηθῶσι μὴ εἶναι τῶν ἐναντίων ἑτέραν δύναμιν [fol. 232r P^1] ἐνεδρεύουσαν, καὶ μετὰ βεβαίωσιν ‖ ἐν ἀσφαλεῖ ἀνὰ κράτος καὶ αὐτοὶ διωξάτωσαν, ἕως ἂν τέλεον αὐτούς, Χριστοῦ ἀντιλήψει, ἐξαφανίσωσιν. εἰ δὲ οἱ πολέμιοι δι' ὀλιγότητα καὶ δειλίαν οὐκ ἀναδεύονται πρὸς πόλεμον, χρὴ τοῖς ἐρανιζομένοις ὑπουργοῖς τὰ σιτία ἀναμῖξαί τινας τῶν μαχίμων στολὰς ἠμφιεσμένους ὑπουργῶν, ἵνα ὑποκρύπτωνται τὰ τούτων ὅπλα, καὶ πρὸς τὸ μέρος, οὗ παρατρέχειν γνῷ τοὺς πολεμίους, ἐκεῖσε μετὰ τῶν ὑπηρετῶν στειλάτω εἰς τὰ χωρία συνεισελθεῖν· τὰ δὲ φοῦλκα ἐγγύθι τῶν χωρίων κεκρυμμένα ἔστωσαν, καὶ ἐὰν οἱ πολέμιοι τῷ προσχήματι τούτῳ ἀπατηθῶσι καὶ πρὸς τὸ κατασχεῖν τούτους ἐπέλθωσιν, οἱ ἀναμὶξ ὄντες τοῖς ὑπηρέταις στρατιῶται συμπλακέντες τοῖς ἐναντίοις μικρὸν τούτους ἀναχαιτίσουσιν, εἶτα οἱ ἐν ταῖς ἐνέδραις ἐξελθόντες ἀξιόλογον ἔργον ὅσον ἐστὶ στοχάσασθαι ἐκτελέσουσι.

XXIV.

Περὶ τοῦ εἰ γνωσθῶσιν οἱ ἀρχηγοὶ τῶν πολεμίων μετὰ τῆς ὑπ' αὐτοὺς δυνάμεως κρύφα μέλλοντες

---

1 *ἐξέθους* P^1 ‖ 4 *διχῆ* P^1R ‖ 6 *καὶ*] *κατὰ* P^1 ‖ 8 *σφόδρᾳ* P^1 ‖ 9 *συντεταγμένος* Vári, *συντεταγμένοις* P^1R ‖ 12 *ἐν ἀσφαλεῖ* Vári, *ἀσφαλῆ* P^1, *ἀσφαλῆ* R ‖ 13 *χ͡υ* P^1R ‖ 16 *ἀναμίξαι τινὰς* libri praeter *k* (qui *ἀναμῖξαι τινὰς* exhibet); correxit Graux ‖ 18 In *V* probabiliter *μέτρος* legebatur pro *μέρος* ‖ 24 *ἀναχαιτήσωσιν* P^1, *ἀναχαιτίσωσιν* R; correxi ‖ 25 *ἐκτελέσωσι* P^1 ‖ *28 ὑπαυτοὺς* P^1

ἐπιβουλεύσασθαι τῷ στρατοπέδῳ ἢ τοῖς πρὸς συλλογὴν ⟨χρειῶν⟩ ἐξιοῦσιν ὑπουργοῖς.

Εἰ δὲ τοὺς τῶν δυσμενῶν ἀρχηγοὺς ὁ βασιλεὺς πύθηται τῇ στρατιᾷ μέλλοντας κρύφα καὶ ἀδοκήτως συμβαλεῖν ἢ τοὺς τὰς τροφὰς ἐρανιζομένους ὑπουργοὺς τραυματίσαι, πλείονας δεῖ λόχους ἱππικῶν τάξεων παρασκευάσαι, ἐξερχομένου καὶ αὐτοῦ τοῦ ἁγίου βασιλέως ἡμῶν καὶ ἐν ἐπιτηδείῳ τόπῳ ἐγκρυπτομένου. Ἐπειδ' ἂν δὲ συναφθῇ πόλεμος καὶ καρτερὰ ἀναφθῇ μάχη, εἰ μὲν τοὺς πολεμίους ἐπικρατεστέρους θεᾶται, βοήθειαν στελλέτω τοῖς πονουμένοις καὶ ὀκλάζουσιν ἀκολουθῶν καὶ αὐτὸς κατόπιν συντεταγμένος· καὶ εἰ φρονίμως καὶ ἀνδρικῶς οἱ σταλέντες τὰ τοῦ πολέμου διάθοιντο, ὑπερισχύσουσι τῶν ἐχθρῶν τῇ τοῦ Θεοῦ χάριτι· πλὴν ὁ βασιλεὺς ἡμῶν ὁ ἅγιος, ἀλλὰ καὶ πᾶς ἄρχων τοῦ φοσσάτου ἐν καιρῷ πολιορκίας μὴ πόρρω διωκέτω, μήτε μὴν τὴν τάξιν αὐτοῦ ἄνευ μεγάλης περιστάσεως λυέτω, εἰ μή ποτε οἱ ἐχθροὶ ἁδρὰν ἔχοντες δύναμιν καὶ τῶν λοιπῶν ὑπερισχύσαντες τάξεων σφοδρᾷ ῥύμῃ καὶ αὐτῷ ἐπέλθωσιν· ὅτ' ἂν δὲ πολέμιοι ἀπὸ τῶν ἐκτὸς ἐπέρχωνται, ἡ πολιορκία σχολὴν ἀγέτω, μόνον δὲ τὸ ἄπληκτον καὶ τὰ πολιορκητικὰ ὄργανα ἀσφαλῶς φυλαττέσθωσαν μετὰ τοῦ ἐξαρκοῦντος λαοῦ.

XXV.

Περὶ τοῦ πῶς δεῖ νυκτὸς τῷ ἀπλήκτῳ τῶν πολεμίων ἐπελθεῖν. [fol. 232ʳ P¹]

Εἰ δὲ παραφυλάττοιεν ἑαυτοὺς οἱ ἐκτὸς πολέμιοι καὶ μηδ' ὁπωσοῦν παρὰ τῶν ἡμετέρων ἐπιτηδευθέντες ἐτραυ-

---

2 χρειῶν quod omm. libri, inseruit *d* ‖ 3 εἰ δὲ τοῖς τῶν δυσμενῶν ἀρχηγοῖς ὁ βασιλεὺς πύθονται *P*¹, idem, nisi πύθηται *R* (cf. p. 22, vs. 19/20); conlato p. 24, vs. 15 malim πύθοιτο scribere ‖ 6 ἱππικὸν *P*¹ ‖ 13 ὑπερισχύσουσι Vári, ὑπερισχύσωσι (-σιν *n*) *P*¹*R* ‖ 17 ἁδρὰν *P*¹*vk*, ἄναδραν *n* ‖ 18 σφόδρᾳ *P*¹ ‖ 26 μηδ' ὁποσοῦν *P*¹ et praeter *db*, qui μηδ' ὁπωσοῦν habent et *n*, qui μηδόποσοῦν exhibet, etiam R

ματίσθησαν, προσήκει μαθεῖν δι' αἰχμαλώτων ἢ κατασκόπων ἢ αὐτομόλων, ἐν ποίῳ αὐλίζονται τόπῳ καὶ ὁπόσην δύναμιν ἔχουσι. καὶ εἰ μὴ πόρρω τοῦ φοσσάτου εἶεν, ἀλλ' ὅσον οὐχ ὅλης ἡμέρας διάστημα, ὡς εἶναι δυνατὸν ἀπὸ ἑσπέρας ἀρξάμενον τῆς ὁδοῦ περὶ τὸ λυκαυγὲς καταλήψεσθαι τὸ ἐκείνων ἄπληκτον, τότε μείζονα δύναμιν ἱππέων παρ' ἣν οἱ πολέμιοι ἔχουσιν ἀφορίσας ὁ βασιλεὺς ἀναλαβόμενός τε καὶ πεζοὺς ἀκοντιστὰς καὶ τοξότας καί τινας τῶν ὁπλιτῶν ἔχοντας ἄλογα κρείττονα καὶ Ῥῶς ἱππότας — περιποιησάμενος δηλονότι καὶ τὴν τοῦ ἀπλήκτου ἀσφάλειαν διὰ στρατοῦ ἐξικανοῦντος κατὰ τῶν ἐχθρῶν — μετὰ δουκατώρων ἐμπείρων ἀπίτω, μηδενὸς εἰδότος, ἐκτὸς τῶν συμβούλων, ὅπῃ πορεύεται· πλὴν μὴ ἀτάκτως καὶ ὡς ἔτυχε τὴν πρὸς ἐκείνους ὁδὸν στελλέσθω, ἀλλ' ἑκάστη παράταξις τῇ ἄλλῃ ἐν τάξει καὶ σιωπῇ ἐφομαρτείτω, οἱ δὲ τῆς πεζικῆς στρατιᾶς κατόπιν πασῶν τῶν ἱππικῶν τάξεων ἱππόται καὶ αὐτοὶ σὺν τοῖς Ῥῷς πορευέσθωσαν, καὶ εἴπερ ἀφυλάκτους καταλήψονται τοὺς ἐχθροὺς ἄρτι διαυγαζούσης ἡμέρας, συνεργίᾳ Θεοῦ μέγα ἔργον ἀνύσουσι. τῶν δὲ πολεμίων γνόντων, εἰ μὲν εἰς μάχην στῶσιν, ἐλάττους ὄντες ἡττηθήσονται, εἰ μή ποτε σφάλμα τι παρὰ τῶν ἡμετέρων συγχωρήσει Θεοῦ γένηται. δεῖ γὰρ τὰς τῶν ἐχθρῶν ὑφορώμενον ἐνέδρας μὴ ἐᾶσαι τὸν λαὸν ἀτάκτως ἐμβαλεῖν τῇ τούτων ἀποσκευῇ, μή ποτε τῶν οἰκείων ἀνὰ ταύτην σκεδασθέντων ἐπιπεσόντες οἱ δυσμενεῖς, ὅπερ ἀεὶ τούτοις ἐξ ἔθους νῦν μεμηχάνηται, ἐν τοῖς ἀπλήκτοις αὐτῶν τινα βλάβην εἰς τὸν στρατὸν ἐργάσωνται·

---

3 *ἔχουσιν* P^1, ex *R*: habent *ndv* ‖ 4 *οὐχ'* P^1 ‖ 5 *περὶ πολύκαυγες abmv, περὶ τὸ πολύκαυγες k, περιπολύκαυχες n, περὶ τὸ λύκαυγες* — quod emendavit Graux — P^1*Ed*; quid *b*? ‖ 8 *καί τινας d*; ceteri forte omnes *καὶ τινὰς* ‖ 9 *ἱππώτας* P^1, ex *R*: *d* ‖ 11 *ἐξἱκανοῦντος* P^1 ‖ 13 *ὅπη* P^1*R* ‖ 15 *ἐντάξει* P^1 | *ἐφομαρτείτω dnb, ἐφαμαρτείτω Emv, ἐφαρματείτω k, ἐφομωρτείτω* P^1; quid *a*? ‖ 16 *ἱππῶται* P^1, ex *R*: *Endvk* ‖ 19 Ante *πολεμίων* inserit *E λοι*, ceteri *R*: *λοιπῶν*; probabiliter et in *V* ut in *E* legebatur *λοι* insertum ‖ 19/20 *εἰς μὲν εἰς* P^1 ‖ 22 *ἐᾶσαι* praeter *dnv* (et P^1), qui *ἐάσαι* habent, omnes *R* ‖ 25 *ἐξέθους* P^1 / *νῦν omm. R* ‖ 26 *τινὰ* omnes, ut videtur, codices | Exceptis *ab omnes codices ἐργάσονται*

ἀλλὰ πρότερον τῆς ἀπωλείας τοῦ τῶν ἐχθρῶν μαχίμου φροντίσαντες εὐχερῶς ἕξοιεν ἐπ' ἔσχατον καὶ τὰ προσόντα αὐτοῖς ἅπαντα. εἰ δὲ φυγῇ χρήσονται, διώκειν δεῖ αὐτοὺς μὴ ἀφυλάκτως, ἀλλὰ μετὰ ἀκριβείας καὶ ἐμπειρίας· καὶ εἰ καταλήψονται τούτους καὶ ἀπὸ τῶν ἑαλωκότων ὡσεὶ σφοδρὰν ποιησάσθωσαν τὴν κατ' αὐτῶν δίωξιν καὶ συνεργίᾳ Θεοῦ ὄλεθρον αὐτῶν ἐργάσωνται μέγαν. εἰ δὲ εἰς ὄρος εἴτε ἕτερόν τινα ὀχυρὸν καταφύγωσι τόπον, καταλαμβανόντων ‖ τῶν πεζῶν καὶ [fol. 233ʳ P^1] διαταξαμένων ὡσαύτως καὶ τῶν καβαλλαρίων, καθὼς ὁ τόπος ἄδειαν δίδωσι, τῆς κατ' αὐτῶν στερρῶς ἐχέσθωσαν μάχης· εἰ δὲ καὶ οἱ ἀρχηγοὶ τοῦ ἔθνους ἐκεῖσέ εἰσι, καταλιπεῖν αὐτοὺς οὐ συμφέρον, ἀλλ' εἰ δεήσει καὶ τὸ λοιπὸν τῆς στρατιᾶς μεταστήτω κἀκεῖσε γενέσθω, καὶ μὴ ἐαθῶσιν οἱ ἐχθροί, ἕως ἂν ἢ πεζοὶ τοὺς ἵππους λιπόντες διὰ τῶν ὀρέων δυνηθῶσι φυγεῖν ἢ πολέμῳ ἁλῶσι.

XXVI.

Πῶς δυνατόν ἐστι μετ' ἐπιτηδεύσεως τοὺς πολιορκουμένους πρὸς τὰ ἐκτὸς ἐπισπάσασθαι καὶ τραυματίσαι αὐτούς.

Δυνατὸν δέ ἐστι καὶ τοὺς ἐν τῇ πόλει ἐπιτηδεύσασθαι καθὼς πολλάκις ἐθεασάμεθα γεγονὸς αὐτοί τε ἡμεῖς καὶ ἕτεροι πλεῖστοι. δεῖ γὰρ νύκτωρ ἐν ταῖς σκηναῖς κατέναντι τῶν τῆς πόλεως πυλῶν δύναμιν ἱκανὴν πεζικὴν ἐγκρύψαι, ἀνὰ χεῖρας ἐχόντων ἑκάστων τὰ ἐπιτήδεια ὅπλα — ἐμπειρίᾳ δὲ καὶ φρονήσει πλεῖστοι οἱ τούτων ἀρχηγοὶ τῶν ἄλλων διαφερέτωσαν — πρὸς τούτοις καὶ ἐξ ἱππέων ἐνέδρας καταστῆσαι ἐν ἐπιτηδείοις τόποις ἐπιστῆσαί τε καὶ αὐτοῖς ἡγε-

---

2 ἐπ' ἔσχατον Vári, ἐπεσχάτων P^1dnk, forte etiam ceteri *R* (praeter *v*, qui ἐπ' ἐσχάτων habet) ‖ 7 ἐργάσωνται Vári, ἐργάσηνται *n* (probabiliter *E*), ἐργάσηται *m*, ἐργάσονται ceteri | ἕτερον τινὰ, praeter *d*, omnes forte codices ‖ 9 ὡσαύτως P^1 ‖ 11 οἱ omm. *R* | ἐκεῖσε εἰσὶ P^1R ‖ 13 κακεῖσε P^1 ‖ 15 ἀλῶσιν P^1R, correxi ‖ 17 ἐπισπάσασθαι Hase, ἐπισπασάμενον P^1R ‖ 26 ἐπιστῆσαι τὲ P^1

μόνας τῶν ἀρίστων καὶ ἐπιλέκτων· εἶτα πλάσασθαι φανερὰν ἐξέλευσιν, ὡς δῆθεν τῶν ἐκτὸς πολεμίων φανέντων καὶ τοῖς τοὺς ἵππους νέμουσι βουλομένων ἐπιτεθῆναι, καὶ τὸ ἀπλῆκτον κενὸν καὶ ἔρημον μαχομένων πρὸς ἀπάτην τῶν ἐχθρῶν παραδεικνύναι, μόνων ὡς εἰκὸς φαινομένων τῶν ὑπουργῶν καὶ τὰς προσηκούσας αὐτοῖς ἐνεργούντων ὑπηρεσίας· μετὰ δὲ τὸ μακρυνθῆναι τῆς πόλεως ἐν ἀποκρύφῳ στῆναι τόπῳ καὶ βίγλας ἔχειν τοῦ ἀκριβῶς ἐπισκοπεῖν τὸ ἀποβησόμενον. ἐπειδ᾽ ἂν δὲ τὸν μάχιμον οἱ πολιορκούμενοι λαὸν γνῶσι πρὸς πόλεμον τὸν ἐκτὸς ἐξελθόντα, μετὰ τὸ ἐκείνους μακρυνθῆναι, ἴσως οἱ ἐχθροὶ τῶν πυλῶν ἐξελθόντες ἐπιδραμοῦνται τοῖς πολιορκητικοῖς ὀργάνοις πρὸς τὸ συντρῖψαι ταῦτα καὶ πυρπολῆσαι. τούτου δὲ γενομένου οἱ ταῦτα φυλάττοντες φυγὴν ὑποκριθήτωσαν πρὸς τὸ ἀπλῆκτον, ἀφ᾽ οὗ δὲ καὶ πρὸς αὐτὸ θαρρήσουσιν οἱ δυσμενεῖς εἰσελθεῖν, καρτερησάτωσαν ⟨οὖν⟩ οἱ λοχῶντες ἐν ταῖς σκηναῖς, ἄχρις ἂν ἀφαρπάζειν τὰ λάφυρα ἄρξωνται· καὶ τότε οἱ μὲν τῆς ἱππικῆς ἐνέδρας πρὸς τὸ τὰς πύλας κατασχεῖν καὶ τοὺς πολεμίους ἐκτὸς ἀπεῖρξαι ὀξέως ὁρμησάτωσαν, οἱ δὲ πεζοὶ τῶν σκηνῶν ἐξελ-
[fol. 233^v P^1] θόντες τῆς ἀπὸ χειρὸς μάχης ἁπτέσθωσαν, ‖ καὶ εἴπερ καλῶς καὶ εὐτάκτως τὸ τοιόνδε ἐπιτήδευμα οἱ ὑπολειφθέντες ἡγεμόνες διάθοιντο ἐπισκήπτοντες μὴ ἀτάκτως τινὰ πρὸ καιροῦ ἐκδραμεῖν κἀντεῦθεν εὐφώρατον γενέσθαι τὴν ἐνέδραν τοῖς πολεμίοις, ἀξιομνημόνευτον ἔργον Θεοῦ κατορθωθήσεται χάριτι· εἴδομεν γάρ, ὥσπερ εἴρηται, αὐτοί τε καὶ ἡμεῖς καὶ οἱ ἄλλοι μυρίοι τῷ τοιούτῳ τρόπῳ οὐ μόνον μεγάλως τραυματισθέντας τοὺς ἐναντίους, ἀλλὰ καὶ φρούρια ἐνίοτε αὐτο-

---

10 *τὸν* *k*, *τῶν* P^1R ‖ 12 *συντρίψαι* P^1R (praeter *n*, qui *συντρίψας* habet); correxi ‖ 13 *φυλάσσοντες* P^1R, correxi ‖ 15 *θαρρήσουσιν* Graux, *θαρρήσωσιν* P^1R ‖ 15/16 Post *καρτερησάτωσαν* inserui *οὖν* ‖ 16 *λοχῶντες* Vári, *λοχοῦντες* P^1R (*λαχόντες* *n*) ‖ 17/18 *ἱππι|ἐνέδρας* P^1 ‖ 19 *ἀπεῖρξαι* praeter P^1v, qui *ἀπείρξαι*, et *n*, qui *ἀπείρξας* habet, ceteri *R* omnes, excepto forte *E*, quem idem habere opinor, quod P^1 ‖ 22 *διάθοιντο* manus correctrix cod. *k*, *διάθυντο* P^1d, *διάθηντο* ceteri ‖ 23 *εὐφόρατον* P^1 et (praeter *ab* forte) *R*, item infra *εἴδωμεν* ‖ 26 *μύριοι* P^1, ex *R* habent, quos vidi, *dnvk* ‖ 27 *αὐτοβοεῖ* P^1R; correxi

βοεὶ ἁλόντα. εἰ δὲ ἔφοδος μεγάλων πολεμίων δυνάμεων προσδοκᾶται, ἀποχωρεῖν δεῖ τῆς πολιορκουμένης πόλεως, καὶ ταύτης πορρωτάτω ἐν ἐπιτηδείῳ τόπῳ στρατοπεδεύειν κἀντεῦθεν ἑτοιμάζεσθαι πρὸς τὴν τῶν πολεμίων παράταξιν.

XXVII.

Περὶ τειχομαχίας.

Ἐπειδὴ δὲ τῆς πολιορκίας ἀρξάμενοι πρὸς ἕτερα τὸν λόγον μετηγάγομεν, νῦν καὶ περὶ αὐτῆς κατὰ τὸ ἐγχωροῦν διαληψόμεθα. ἡ πολιορκία, ἤτοι ἡ τειχομαχία, πολυειδὴς καὶ πολυμήχανός ἐστι. γίνονται γὰρ καὶ ὑπὸ γῆν ὀρύγματα, καὶ κριοὶ κατασκευάζονται καὶ χελῶναι καὶ πετροβόλοι λέσαι τε καὶ ξύλινοι πύργοι καὶ κλίμακες, καὶ χωμάτων σωρεῖαι εἰς βουνὸν ἀποτελούμεναι καὶ ἕτερα ἑλεπολικὰ κατασκευάζονται καὶ ἐπιτηδεύονται ὄργανα, ὑπὲρ ὧν ταῖς τῶν παλαιῶν βίβλοις ἐντυχὼν ἐπιστατικώτερον καὶ πλείονα τούτων εὑρήσεις συγγεγραφηκότας ἐκείνους, καὶ κάλλιστα καὶ χρησιμώτατα· διὰ τοῦτο οὖν περιττὴν ἡγησάμεθα τὴν περὶ τούτων ἐπὶ λεπτὸν γραφήν, τοῦ λόγου τὸν κόρον καὶ τὴν γραφὴν ἐκφεύγοντες. ἔξεστι δὲ ⟨καὶ⟩ τῶν ἡγεμόνων ἐξ ἐναντίας ἕκαστον τοῦ ἰδίου ἀπλήκτου τὴν στάσιν ἔχοντα πολιορκεῖν, ἔπειτα κρεῖττον τῶν ἑλεπολικῶν μηχανημάτων κατὰ τὸ εὐκολώτερον μέρος τῆς τάφρου τῶν πολεμίων καὶ τοῦ τείχους σαθρότερον ἔχειν τε καὶ προσφέρεσθαι, ὡσαύτως καὶ τὴν ἰσχυροτέραν δύναμιν καὶ τῶν ἀρχηγῶν τοὺς ἐμπείρους· καὶ μήτε νυκτὸς μήτε ἡμέρας ἀνίεσθαι τὴν τειχομαχίαν καθ' ὅλου τοῦ τείχους τῆς πόλεως, ὅπως τῇ συνε-

---

9 *πολυμήχανος ἐστὶ P*[1], ex *R*: *dn* | *γὴν P*[1] ‖ 10 *πετροβόλοι* Graux, *πετρόβολοι* omnes, quos vidi, codices cum *E* ‖ 12 *σωρεῖαι* Vári, *σωρεία P*[1]*R* (*d*: *σωρεῖα*) | *ἀποτελούμεναι* Vári, *ἀποτελούμενα P*[1]*R*; Graux *ἀποτελουμένων* scripsit | *ἑλεπολικὰ P*[1], ex *R*: *dnk* ‖ 16 Omnes, quos vidi codices cum *Em χρησιμότατα* habent ‖ 17 *ἐπὶ λεπτὸν* Vári, *ἐπιλεπτῶ P*[1]*nk*, *ἐπὶ λεπτῷ* ceteri ‖ 18 *καὶ* inseruit *k* ‖ 18/19 ἐξεναντίας P[1], ex R: dv ‖ 20 *ἑλεπολικῶν P*[1], ex *R*: dnk ‖ 22 ὡς αὕτως P[1] ‖ 25 *καθόλου P*[1], ex *R*: *dnv*

χείᾳ καὶ σφοδρότητι τοῦ πολέμου, τὸ μὲν ἐκλυθέντες οἱ ἐντὸς καὶ ταλαιπωρηθέντες, τὸ δὲ τραυματιζόμενοι καὶ μὴ [fol. 234r P^1] *πρὸς πάντα δυσχερῆ ἀντισχεῖν δυνάμενοι, ἀπογνῶ‖σι τῆς ἰδίας σωτηρίας καὶ ἢ πίστεις δόντες καὶ αὐτοὶ λαβόντες ὑποταγῶσιν, ἢ χαυνωθέντες νόμῳ πολέμου ἁλῶσι καὶ ὑπὸ τὴν βασιλικὴν γένωνται χεῖρα.*

XXVIII.

Περὶ τοῦ δεῖν τὸν στρατὸν γυμνάζεσθαι.

Τὸ δὲ ⟨δεῖν⟩ γυμνάζεσθαι καὶ ἀδνουμιάζεσθαι τὸν στρατὸν ἀπὸ τῶν παλαιῶν παρειλήφαμεν· ἔστι γὰρ ὠφέλιμον καὶ ἐπιτηδειότατον. ἐκεῖνοι γὰρ οὐ μόνον σύμπασαν ἐγύμναζον τὴν στρατιάν, ἀλλὰ καὶ καθένα ἕκαστον στρατιώτην ἐξασκοῦντες ἐδίδασκον ἐντέχνως τοῖς ὅπλοις χρῆσθαι, ἵν᾽ ἐν καιρῷ πολέμου ἡ ἀνδρεία συνεργῷ χρωμένη τῇ ἐμπειρίᾳ καὶ τέχνῃ τῶν ὅπλων ἀήττητος ᾖ. χρεία τοίνυν ἐστὶ τῶν γυμνασιῶν καὶ τῆς πρὸς τὰ ὅπλα ἐπιμελείας· πολλοὶ γὰρ τῶν πάλαι Ῥωμαίων καὶ Ἑλλήνων μετὰ πληθύος ὀλίγης στρατιᾶς τῶν γεγυμνασμένων καὶ ἐμπείρων μυρίανδρα στρατόπεδα κατετροπώσαντο. τὸ δὲ οἴκοι μένειν καὶ ἀργεῖν τοὺς στρατιώτας καὶ μήτε γυμνάζεσθαι μήτε ταξειδεύειν κατ᾽ ἐνιαυτόν, καθ᾽ ὃν ἔξεστι καιρόν, εἰς ἐμπόρων καὶ ἀγελαίων γεωργῶν τάξιν αὐτοὺς κατάγει· τὴν γὰρ πολεμικὴν πανοπλίαν καὶ τοὺς ἀρίστους ἵππους ἀπεμπολοῦντες βόας ἐξωνοῦνται καὶ τἄλλα τὰ πρὸς γεωργίαν ἐπιτήδεια, καὶ κατ᾽ ὀλίγον ἐθιζόμενοι πρὸς ἀργίαν μᾶλλον ταύτην ἀσπάζονται καὶ αἱροῦνται ὡς ἀταλαίπωρον καὶ ἀκίνδυνον ἤπερ τοὺς ὑπὲρ τῶν Χριστιανῶν ἀγῶνας καὶ πόνους· καὶ εἰ χρεία γένηται πολεμίων ἐπιόντων ἐξάγειν τὴν στρατιάν, ὥσπερ

---

7 *τὸν στρατὸν* Graux, *τὸν στρατηγὸν* P^1R ‖ 8 *δεῖν* inseruit Graux ‖ 11 *καθ᾽ ἕνα* (sic!) Graux, *καθὲν* P^1, *καθ᾽ ἓν* R ‖ *13 ἀνδρία* P^1 (cum *v*) ‖ 15 *γυμνασίων* coniecit Graux; idem *habet n* ‖ *23 τ᾽ ἀλλα* P^1d, *τ᾽ ἄλλα* *nvk* et ceteri forte; correxi ‖ *25 αἱροῦνται* P^1

ἀνάγκη τοιαῦτα τοῖς Ῥωμαίοις ἐπιέναι ἑκάστοτε, οὐδεὶς εὑρεθήσεται στρατιώτου ἔχων ἐνέργειαν· ἡ γὰρ ἀργία καὶ τὸ μὴ γυμνάζεσθαι πάντη ἀνάνδρους καὶ ἐκλελυμένους ἀπεργάζεται, ὥσπερ τὸ περὶ ταῦτα ἐνεργεῖν καὶ ἐξασκεῖσθαι ἀνδρείους καὶ εἰς πλεῖστον ἰσχύος μέρος ἐπιδιδόντας. καὶ τοῦτο δῆλον ἐκ τῶν εἰς τὰ ἄκρα τῆς Ῥωμαίων ἀρχῆς κατῳκισμένων καὶ τοῖς ἐχθροῖς γειτονούντων· ἐκείνους γὰρ τὸ ἄπαυστον καὶ ἐνδελεχὲς τῶν πολέμων νεανικούς τε καὶ γενναίους ἀπεργάζεται· πρὸς δὲ τὴν γυμνασίαν καὶ τοὺς ταξειδίους καὶ ⟨τὸ⟩ τοὺς οἴκους αὐτῶν ἐλευθέρους ἀπὸ πάσης ἐπηρείας συντηρεῖσθαι — κατὰ τοὺς δόξαντας πάλαι Ῥωμαίοις νόμους — προσήκει τιμᾶσθαί τε ‖ κατὰ τὸ ἁρμόζον [fol. 230^v P^1] ὡς τῶν Χριστιανῶν προμάχους, καὶ μὴ παρά τινος τῶν φορολόγων ἀτιμοῦσθαι καὶ καθυβρίζεσθαι κάλλιστον· ἡ γὰρ τιμὴ καὶ ἐλευθερία διεγείρει τούτους εἰς εὐτολμίαν καταφρονεῖν τε ποιεῖ παντὸς θανάτου καὶ προκινδυνεύειν ἐκθύμως τοῦ βασιλέως ἡμῶν τοῦ ἁγίου καὶ τῆς ἑαυτῶν πατρίδος, ὥσπερ ἀνάπαλιν αἱ ζημίαι καὶ τὸ καταφρονεῖσθαι καὶ ἀτιμοῦσθαι ῥᾳθύμους καὶ ἀτόλμους εἶναι καὶ καταπλῆγας παρασκευάζει.

XXIX.

Περὶ ἀδνουμίων.

Τὰ δὲ καθολικὰ ἀδνούμια οὐκ ἐλαχίστῃ μοίρᾳ πρὸς ἀσφάλειαν καὶ σύστασιν τοῦ παντός εἰσι στρατεύματος, καὶ

---

3 πάντη P^1R ‖ 6 κατωκισμένων P^1 ‖ 8 πολέμων tentavit Graux, πολεμίων P^1R | τε Vári, ὅτι P^1R ‖ 9/10 πρὸς δὲ τὴν γυμνασίαν καὶ τοῖς ταξειδίοις (ταξιδίοις *abkm*) καὶ P^1R; emendavi, postea τὸ inserui ‖ 11 ἐπηρείας *v* et manus sec. cod. *am*; ceteri ἐμπειρίας habent | Post δόξαντας inserendum censuit Graux τοῖς ‖ 11/12 ῥωμαίοις *abm* (?), ῥωμαίων ceteri ‖ 16 ποιεῖ Vári, πάθει P^1, πείθει *R* ‖ 18 Post ὥσπερ inserunt P^1R τὸ ‖ τὸ om. P^1 ‖ 19 ῥαθύμους P^1R (ῥαθύμοις *k*) | καταπλῆγας Graux, κατὰ πλήγας P^1, καταπλήγας *ndk* et praeter *v*, qui κατὰ πληγὰς habet, forte ceteri ‖ 22 ἐλαχίστη μοίρα P^1 et (praeter *k*, qui ελαχίστη [sic!] μοῖρα habet) forte omnes R ‖ 23 παντὸς εἰσὶ omnes, ut videtur, codices

τοῦτο δῆλον ἐκ τῶν παλαιῶν στρατηγῶν· οὐ μετρίως γὰρ καὶ αὐτοὶ τῶν τοιούτων ἀδνουμίων ἐφρόντιζον. ἔξεστι τοίνυν πρὸ τοῦ τῆς πολεμίας ἐπιβῆναι γῆς ἅπαν ἀδνουμιάζεσθαι τὸ στράτευμα δι’ οἰκείων καὶ πιστῶν ἀνθρώπων τοῦ ἁγίου ἡμῶν βασιλέως, ὅπως γνωσθῶσιν ὅσοι μὲν πρὸς τὸ ταξειδεῦσαι σύνεισι τῇ ἁγίᾳ αὐτοῦ βασιλείᾳ, ὅσοι δὲ ὑπελείφθησαν οἴκοι, ὅσοι δὲ καὶ ἔφυγον, πρὸς τούτῳ καὶ τίνες μὲν ἐν ἀληθείᾳ δι’ ἀσθένειαν ὑπελείφθησαν, τίνες δὲ καὶ τεθνήκασι, καὶ τίνες καλῶς τούς τε ἵππους καὶ τὰς πολεμικὰς πανοπλίας κέκτηνται· οὐ γὰρ ἀγνοεῖσθαι δεῖ ἕκαστα, ἀλλ’ εἰδέναι τίνες μὲν κοπιῶσι, τίνες δὲ διὰ ῥαθυμίαν τὰ οἰκεῖα προέκριναν τῶν κοινῶν, ὁπόσοι δὲ ἄλλως ἀπελείφθησαν· καὶ μὴ ἐν ἴσῃ μοίρᾳ τάττωνται οἱ θανάτοις καὶ αἰχμαλωσίαις ἑαυτοὺς ἐκδεδωκότες τοῖς ῥαθύμοις καὶ ἀναπεπτωκόσιν, ἀλλ’ ἄξια τῶν πεπραγμένων ἕκαστος ἀπολαμβάνῃ, οἱ μὲν εὐεργεσίαις, οἱ δὲ τὴν δοκοῦσαν τῷ νόμῳ ἄμυναν· οἱ γὰρ δι’ ἀσθένειαν λιποτακτήσαντες ἀπολελυμένοι παντός εἰσιν ἐγκλήματος ὡς μὴ προαιρέσει ἀλλ’ ἀκουσίως τοῦτο δεδρακότες. καὶ εἴπερ φυλάττοιτο ἡ ἀκρίβεια αὕτη τῶν ἀδνουμίων, τοῦ ταξειδίου οὐ τολμήσουσιν οἱ στρατευόμενοι ἀπολιμπάνεσθαι. ἐκ δὲ τῆς τοιαύτης τῶν ἀδνουμίων καταφρονήσεως καί τινας συμβαίνει δι’ ἀφοβίαν ἀπολιμπάνεσθαι εἰς τὰ ἴδια, εἶτα τοῦ στρατεύματος ἤδη ἐμβάλλοντος τῇ ἀλλοτρίᾳ, οὗτοι κατόπιν ἐρχόμενοι καὶ μόνοι τὴν ἐρημίαν διαβῆναι καταναγκασθέντες τὸν
[fol. 235r P^1] ἔσχατον ὑπέστησαν ὄλεθρον. εἴδομεν δὲ καὶ ‖ τῶν στρατηγῶν οὐκ ὀλίγους τῷ τρόπῳ τούτῳ σὺν τῷ λαῷ αὐτῶν μεγάλας ὑποστάντας βλάβας παρὰ τῶν πολεμίων ἐν ταῖς κλεισούραις. χρὴ δὲ καὶ ὑποστρέφοντος καὶ ἐν τῇ ἰδίᾳ γινομένου τοῦ στρατοῦ αὖθις τελείσθω τὸ ἀδνούμιον, ἵνα μή τις τολμᾷ ἄνευ βασιλικῆς προστάξεως ὑποχωρῆσαι, ἀλλὰ καρτερῶσι πάντες μετὰ τῶν ἰδίων ἀρχόντων ἄχρι τῆς καθο-

---

7/8 Verba ὅσοι δὲ καὶ . . . . . ὑπελείφθησαν om. P^1 ‖ 9 τεθνήκασιν P^1, ex *R*: *nv* ‖ 11 σκοπιῶσι P^1 | ῥαθυμίαν P^1 ‖ 14 ῥαθύμοις P^1 ‖ 15 ἀπολαμβάνει P^1R; correxi ‖ 17 παντὸς εἰσὶν omnes, ut videtur, codices ‖ 23 ἐμβαλλόντος P^1R, correxit *Graux* ‖ 27 ὑποστάντας *dk*, forte etiam *abm*, ὑποστάντα P^1nv, ὑπόσταντα *E* | περὶ P^1

λικῆς ἀπολύσεως, καὶ εἴ που τινὲς τοῦ πρώτου ἀδνουμίου ἀπολειφθέντες μετ' αὐτὸ κατέλαβον διὰ τοῦ ἐσχάτου ἐπιγινώσκωνται, καί, ἁπλῶς εἰπεῖν, εἰ μὴ τοῦτο γένηται, χείρων ἐπακολουθεῖ λύμη καὶ μείζων. τῇ γὰρ τῶν οἰκείων ἐπιθυμίᾳ καταλιμπάνοντες οἱ στρατιῶται τὸν βασιλέα ἡμῶν τὸν ἅγιον καὶ τοὺς ἑαυτῶν ἄρχοντας προεξέρχονται· οἱ δὲ πολέμιοι ἐπακολουθοῦντες καὶ τὴν ὀλιγότητα τοῦ στρατοῦ θεώμενοι τούτου μεγάλην εἰς αὐτοὺς ἐργάζονται τὴν ἀπώλειαν καὶ ⟨τὴν⟩ αἰχμαλωσίαν.

XXX.

Περὶ τοῦ διδάσκειν τὸν στρατὸν καὶ ἐθίζειν ἔτι ἐν τῇ ἰδίᾳ ὄντα κατὰ τάξιν ἀπληκεύειν καὶ ὁδοιπορεῖν.

Δεῖ δὲ πρὸ τοῦ ἐν τῇ πολεμίᾳ γενέσθαι τὸ ἐκτεθὲν ἀπλῆκτον διδάσκειν τὸν στρατὸν τρὶς καὶ τετράκις ἐν τῇ ἰδίᾳ ὄντα χώρᾳ ἀπληκεύσαντα κατὰ τάξιν καὶ πᾶσαν τηρήσαντα τὴν τοιούτου ἀκρίβειαν, ἵν' ἑκάστων μαθόντων ἀκριβῶς τὰς στάσεις αὐτῶν ἀσφαλῶς ἀπληκεύωσιν ἐν τῇ πολεμίᾳ, τὸ δ' αὐτὸ ποιεῖν κατὰ τὴν ἐκδεδομένην μετὰ τάξεως ὁδοιπορίαν, ἔτι ⟨δὲ⟩ ἐν τῇ ἰδίᾳ ὄντα παιδεύειν τὴν στρατιάν, ἵνα μετὰ καταστάσεως καὶ εὐταξίας ἐθισθεῖσα ὁδοιπορεῖν καὶ τὴν αὐτὴν ἐν τῇ πολεμίᾳ φυλάττουσα ἀκρίβειαν ἀνωτέρω πάσης τῆς ἀπὸ τῶν ἐχθρῶν συντηρῆται κακώσεως.

---

2 Malim κατελάβοντο | ἐπιγινώσκονται P^1R, quod correxi || 6 χειρῶν P^1, ex R: *dvk* || 8 τούτους P^1R, correxit in τούτου Graux || 9 Post καὶ Graux recepta lectione codd. *abk* τὴν inseruit || 18 κατὰ Vári, καὶ P^1R || 19 δὲ Vári inseruit || 20 ἐθισθεῖσα *v* et manus secunda codicis *m*, fortasse denique *ab*, ceteri (etiam *E*?) ἐθισθεῖσαι excepto *n*, qui ἐθισθῆσα exhibet

XXXI.

Περὶ τοῦ ὑπαλλάττεσθαι τὰς ἐκτελούσας τάξεις τὴν τοῦ σάκα διακονίαν διὰ τὸν πολὺν κόπον, τοῦ ἄρχοντος εἰ δυνατὸν μένοντος αὐτοῦ.

Ἐπεὶ δὲ ὁ τοῦ σάκα ἄρχων καὶ αἱ τάξεις αἱ εἰς αὐτὴν τὴν δουλείαν ἀποκεκληρωμέναι κόπον μείζονα τῶν ἄλλων καὶ ταλαιπωρίαν ὑφίστανται, δεῖ ὑπαλλάττεσθαι τὰς τάξεις τοῦ στρατηγοῦ μένοντος εἰς τὴν τοιαύτην δουλείαν, εἴπερ καλῶς τὰ κατ' αὐτὴν κυβερνᾷ, ἐπειδὴ πολλὴν ἐμπειρίαν ἐκ τῆς εἰς τὴν τοιαύτην ὑπηρεσίαν σχολῆς ἀθροίζων χρησίμως τὴν κοινὴν ταύτην ἀποτελεῖ λειτουργίαν, εἰ μή ποτε αὐτὸς ‖ [fol. 235v P^1] εἴτε δι' ἀρρωστίαν ἢ διὰ τὸν πολὺν κόπον ὀκλάσῃ (τότε γὰρ ἀντ' αὐτοῦ ἔξεστιν ἕτερον πεπειραμένον καὶ ἱκανώτατον τὴν τοιαύτην πιστεύεσθαι). τὰ δὲ λεγόμενα μονοπρόσωπα ἐν μὲν τῇ πρὸς τὴν πολεμίαν εἰσόδῳ τά τε ἅρματα καὶ τὰ λοιπὰ τὰ πρὸς πολιορκίαν ἐπιτήδεια βαστάζουσιν, ἐν δὲ τῇ ἐξόδῳ τῶν πλειόνων βελῶν καὶ τῶν λοιπῶν εἰδῶν καὶ ἁρμάτων ἀναλισκομένων· χρὴ ταύτας εἰς τρία διαιρῆσαι, καὶ μοῖραν μὲν ἀφορίσαι εἰς τὸ φέρειν τὰ ὑπολειφθέντα ἅρματα, τὴν δὲ ἑτέραν πρὸς τὸ τὴν δαπάνην πάντων μονοπροσώπων βαστάζειν, τὴν δὲ λοιπὴν διδόναι τοῖς τοῦ σάκα, ὅπως ἐκεῖνοι τοὺς πληγάτους καὶ τοὺς δι' ἀσθένειαν ἀπολιμπανομένους τούς τε τὰ ἑαυτῶν ἀπολωλεκότας ἄλογα καὶ μὴ δυναμένους πεζεῦσαι ἐκείνους τε αὐτοὺς δι' αὐτῶν βαστάζωσι καὶ τὸν φόρτον αὐτῶν.

---

3 *αὐτοῦ* Hase, *τοῦ ἐχθροῦ* P^1R ‖ 4 *ταύτην* pro *αὐτὴν* voluit Graux ‖ 5 *ἀποκεκληρωμένα* P^1 ‖ 6 *ἐφίστανται* P^1 ‖ 9 *χρησίμους*, omnes, quos vidi, codd., *χρησίμως* Graux ‖ 12 *καὶ* omm. *R* | *ἱκανότατον* P^1R, correxi ‖ 15 Malim *βαστάζωσιν* ‖ 18 *μοῖραν* *k*, *μοίραν* P^1 et ceteri, ut videtur, *R* ‖ 21 *ἐκεῖνοι* P^1 | *ἀσθενείαν* P^1 ‖ 22 *ἀπολελωκότας* P^1R, correxit Graux ‖ 23 *τὲ* P^1, ex *R*: *nv*

XXXII.

Περὶ τῶν ἐπικειμένων δουλειῶν· ὅτι χρὴ πρὸ ἡμέρας ταύτας λελογισμένως τυποῦν καὶ διατίθεσθαι.

Τὰς δὲ ἀναγκαίας δουλείας τοῦ στρατεύματος, ἃς κατὰ τὴν ἐπιοῦσαν ἁρμόζει γίνεσθαι, εἴτουν τοὺς μέλλοντας στέλλεσθαι εἰς κοῦρσα εἴτε τοὺς εἰς φυλακὰς τῶν εἰς χρείας ἐξιόντων καὶ τὰς λοιπὰς πάσας, ἃς διὰ τὸ πλῆθος παρήκαμεν τῇ πρὸ αὐτῆς ἡμέρᾳ, μετὰ λελογισμένης βουλῆς καὶ διασκέψεως δεῖ τυποῦν· καὶ ἐγγράφως ἀποσημειοῦν καὶ προστάττειν τοῖς μέλλουσιν ἀποστέλλεσθαι εἰς ἑκάστην δουλείαν εὐτρεπίζεσθαι τοῦ ἑτοίμους εὑρεθῆναι κατὰ τὸν προσήκοντα καιρὸν καὶ μὴ ῥᾳθυμήσαντας ἐᾶσαι παραδραμεῖν τοῦτον καὶ ἀπολέσαι τὰς ἀναγκαίας δουλείας, ἃς τοῦ ἐπιτηδείου παραρρεύσαντος καλῶς ἀνυσθῆναι ἀμήχανον. εἰ δέ γε παρ' ἐλπίδα συναντήσωσι μανδάτα καὶ δουλεία ἀπροόπτως συμμεταβαλλέσθω τῷ καιρῷ καὶ τῇ χρείᾳ καὶ πρὸς τὰ ἀπαντῶντα διατιθέσθω. ἐβουλόμεθα δὲ καὶ περὶ κούρσων ἐκθέσθαι, πῶς δεῖ εἰσελαύνειν αὐτὰ ἐν τῇ τῶν Ἀγαρηνῶν χώρᾳ καὶ ἐπιτηδείως καὶ ἁρμοζόντως πρὸς τὴν ἐρήμωσιν αὐτῆς διατίθεσθαι, ἀλλ' οὖν διὰ τὸ μῆκος τοῦ λόγου τὸ τίκτειν εἰωθὸς ἀηδίαν καὶ τὸ πλείστους εἶναι στρατηγοὺς οὐκ ὀλίγην πεῖραν εἰς τοῦτο τὸ ἐπιτήδευμα ἔχοντας παρήκαμεν τὴν ὑπόθεσιν ἡγησάμενοι περιττὸν εἶναι περὶ τῶν τοῖς πολλοῖς ἐγνωσμένων γράφειν.

---

6 *κούρσωρα* P^1, ex *R*: *v*, *κούρσα nd* et fortasse *E*; *κοῦρσα* ceteri ‖ 12 *ῥαθυμήσαντας* P^1 | *ἐάσαι* P^1R ‖ 14 *παραρρεύσαντος d*, *παραρεύσαντος* P^1 et ceteri *R* ‖ 15 *παρελπίδα* P^1, ex *R*: *dn* | *συναντήσουσι* P^1R, correxi | *δουλεία* Graux, *δουλείαι* P^1nv, *δουλεῖαι dk* et forte ceteri | Ultimo folio cod. *v* legitur: *τέλος σὺν θεῷ τοῦ τακτικοῦ*

INDEX VOCABULORUM.[1])

A

---

1) *Omisi in indice* articulum, δέ, *καί* (= et), recepi *καί* (= *etiam*).

B

Γ

Δ

Z

H

Θ

Ι

K

Λ

M

N

Ξ

O

Π

Ρ

T

Υ

Φ

Ω


WIDENER
BOOK DUE
FEB 26 1987
MAR 17 1987
2191109

